AKROPOLIS WORLD NEWS

www.akwn.net

J. Coderch

Fifteenth Year

(August 2016 - May 2017)

Ἡ φωτογραφία ἢ σύμβολον γεγένηται

19 Αὐγούστου 2016

Ὁ Σύριος παῖς ὃν δυνάμεθα ἰδεῖν ἐν τῇ φωτογραφίᾳ ἐσώθη τῇ Τετάρτῃ ἡμέρᾳ ταύτης τῆς ἑβδομάδος ἐκ τῶν πτωμάτων οἰκοδομήματός τινος ἐν τῇ πόλει Ἀλέππῳ ὃ ἀεροσκάφεσι τοῦ Συρίου προέδρου Ἀσᾶδ ἢ τοῦ τῆς Ῥωσσίας προέδρου Ποῦτιν διεφθάρη. ὁ μὲν ἄνθρωπος ὃς τὸν παῖδα ἐκ τῶν πτωμάτων ἐξέσωσεν ἐπὶ θράνου ἔθηκεν ἐν ἀσθενοφόρῳ ὃ ἔτυχεν ἐκεῖ ὄν, ἕως δὲ ἰατρόν τινα ἐζήτει ἐργαστής τις τοῦ Aleppo Media Centre ταύτην τὴν φωτογραφίαν ἐποίησεν ἢ ταχέως διὰ πάντων τῶν δικτύων δραμούση σύμβολον γεγένηται τῆς τοῦ ἐν τῇ Συρίᾳ πολέμου ὀρρωδίας (οὗτος ὁ πόλεμος ἤρξατο ἤδη τὸ πεμπτὸν ἔτος).

τὸ ὄνομα τὸ τοῦ παιδὸς (πέντε ἔτη γεγονότος) Omran Daqneesh ἐστίν, κατὰ δὲ τοὺς ἰατροὺς οἳ αὐτὸν ἰάσαντο τραῦμα μὲν ἔπαθεν ἐν τῇ κεφαλῇ, οὐκέτι δὲ περὶ τοῦ βίου κινδυνεύει.

ὁ τὸν παῖδα σώσας ἄνθρωπός ἐστι τῆς κατασκευῆς “Λευκαὶ Κόρυθες“ καλουμένης· οἱ “Λευκαὶ Κόρυθες“ τρισχίλιοι ἐθελονταί εἰσιν, πάντες δὴ Σύριοι, οἳ καθ' ἡμέραν κινδυνεύουσιν ἐπειδὰν καὶ ὁπόταν ἀναγκαῖον ᾖ ἵνα σώσωσι τούτους οἵτινες ἂν διὰ τὸν πόλεμον πάσχωσιν.

Προσβολὴ ἐπὶ τὸ Ἀμερικανὸν Πανεπιστήμιον ἐν τῷ Καβοῦλ

25 Αὐγούστου 2016

Χθὲς τῇ Τετάρτῃ δύο ἄνδρες αὐτοματικὰ ὁπλοπολυβόλα ἔχοντες εἰς τὸ Ἀμερικανὸν Πανεπιστήμιον ἐν τῷ Καβοῦλ (Ἀφγανιστᾶν) εἰσέβησαν καὶ πυροβολεῖν ἤρξαντο. τετταρακαίδεκα ἄνθρωποι ἀπέθανον· ἑπτὰ μαθηταὶ καὶ τρεῖς ἐθνικοὶ φύλακες καὶ δύο φύλακες τοῦ Πανεπιστημίου καὶ οἱ δύο τρομοκράται αὐτοί.

οἱ δύο τριομοκράται, εἰς τὸ οἰκοδόμημα τῆς ἑσπέρας εἰσβάντες, πρῶτον μὲν ἐπυροβόλησαν πρὸς ὅντινα ἴδοιεν, ἔπειτα δὲ ἔνδον μένοντες κατέσχον βίᾳ τοὺς μαθητὰς οἵτινες οὐκ ἐδυνήθησαν ἐκφυγεῖν (πολλοὶ ἄλλοι διὰ τῶν θυρίδων ἐξέφυγον)· τέλος δὲ οἱ φύλακες, περὶ τὸ οἴκημα πολὺν χρόνον περιστάντες, εἰσέβησαν καὶ τοὺς δύο τρομοκράτας ἀπέκτειναν.

Δεινὸς σεισμὸς ἐν τῇ Ἰταλίᾳ

25 Αὐγούστου 2016

Τῇ Τρίτῃ ἡμέρᾳ τῆς νυκτὸς δεινὸς σεισμὸς ἐγένετο ἐν τῇ Ἰταλίᾳ, ἐν τῷ κέντρῳ τῆς χώρας, ἡ δὲ πόλις Ἀματρίζη καὶ πολλαὶ ἄλλαι παντελῶς διεφθάρησαν. κατὰ τοὺς ἄρχοντας διακόσιοι τετταράκοντα καὶ ἑπτὰ ἄνθρωποι ἀπέθανον, φοβοῦνται δὲ μὴ πλείονες ἀπέθανον, ἴσως γὰρ πολλοὶ νεκροὶ ὑπὸ τῶν πτωμάτων κεῖνται. νῦν πάντες ὡς τάχιστα πονοῦσιν ἵνα εὑρῶσι τούτους οἵτινες μένωσιν ἂν ὑπὸ τῶν πτωμάτων ἔτι ζῶντες.

ἄλλων ἑξήκοντα μειόνων σεισμῶν μετὰ τὸν πρῶτον σεισμὸν γενομένων, πολλοῖς πολίταις ἔδοξεν ἔξω τῶν οἰκοδομημάτων μένειν φοβουμένοις μὴ τὰ οἰκοδομήματα ἃ ἔτι καὶ νῦν ἕστηκε καταπέσοι.

Ὁ Μουγάβη πάντας τοὺς ἀθλητὰς συλλαμβάνει

29 Αὐγούστου 2016

Πολλοὶ ἀθληταὶ μετὰ τὰ Ὀλύμπια οἴκαδε ἐπανελθόντες ὑπὸ τῶν συμπολιτῶν ὡς ἥρωες τιμῶνται, ἄλλως τε καὶ εἰ εὖ ἔπραξαν· ὅμως δὲ ἄλλο τι ἐγένετο ἐν τῇ Ζιμβαύῃ, ὁ γὰρ πρόεδρος Μουγάβη τὸν τῶν φυλάκων ἄρχοντα ἐκέλευσε πάντας τοὺς ἀθλητὰς συλλαβεῖν ὅτε πρῶτον εἰς τὸν ἀερολιμένα ἀφίκοιντο ἅτε οὐδὲν ἆθλον κτησαμένους. ἡ Ζιμβαύη τριάκοντα καὶ ἕνα ἀθλητὰς πρὸς τὰ Ὀλύμπια ἔπεμψεν.

ὁ Μουγάβη, τοὺς ἀθλητὰς "μύας" τε καὶ "ἀχρήστους" καλούμενος, εἶπεν ὅτι νῦν ἀναγκαῖον ἔσοιτο τοῖς ἀθληταῖς τὰ χρήματα ἀποδοῦναι ἃ ἡ ἀρχὴ ὑπὲρ τῆς παρασκευῆς αὐτῶν κατέστησεν.

πάλαι ἔλεγον πάντες ὅτι "τὸ μετέχειν κυριώτατόν ἐστιν"...

Ναυαγοὶ ἐν τῇ Μικρονησίᾳ

3 Σεπτεμβρίου 2016

Καίπερ τὸ νῦν νεωτάτην τε καὶ βελτίστην τεχνολογίαν ἔχομεν οἷα τὸ GPS, ἔτι ἐν τῇ εἰκοστῇ καὶ πρώτῃ ἑκατονταετίᾳ δυστυχήματα ὑπάρχει περὶ ναυαγῶν ἐν ἐρήμαις νήσοις καταλειφθέντων.

ἀνήρ τις καὶ γυνή, πεντήκοντα ἔτη γεγονότες, ἀπὸ τῆς νήσου Οὐένω ἐν τῇ Μικρονησίᾳ (ἐν τῷ Εἰρηνικῷ Ὠκεανῷ) μικροτάτῳ πλοίῳ ἀποπλεύσαντες ἐν νῷ εἶχον εἰς τὴ νῆσον Ταμάταμ ἀφίκεσθαι (αὕτη ἡ νῆσος διακόσια χιλιόμετρα ἀπέχει ἀφ' οὗ ἀπέπλευσαν), πολλὰ δὲ παθήματα παθόντες καὶ μάλιστα ἀποροῦντες εἰς ἄλλην νῆσον ἀφίκοντο θυέλλης γενομένης, ἔρημον δὴ νῆσον, ἧς τὸ ὄνομα Φαῖ ἐστιν· αὐτοῖς δὲ ἅτε ῥαδιόφωνον οὐκ ἔχουσιν οὐκ ἐξὸν ἐπικαλεῖσθαι, ἐποίησαν ὃ μόνον ποιεῖν ἐδύναντο· ἔγραψαν SOS ἐπὶ τῆς ἄμμου μεγάλοις στοιχείοις, ὡς ἐν τῇ φωτογραφίᾳ ἰδεῖν δυνάμεθα.

οἱ μὲν δύο ἄνθρωποι ἐν ταύτῃ τῇ νήσῳ ὅλην ἑβδομάδα ἔμενον μόλις σῖτόν τε καὶ ὕδωρ ἔχοντες, τέλος δὲ ἀεροσκάφος τι αὐτοὺς ζητοῦν τὸ ἐπίγραμμα εἶδεν.

κατὰ τοὺς θαλασσίους νόμους δεῖ τούτους οἳ πορρωτέρω ἢ δέκα χιλιόμετρα ἀπὸ τῆς παραλίας ἀποπλέουσι ῥαδιόφωνον ἔχειν.

Τὸ Ἰρᾶν καὶ ἡ Σαυδικὴ Ἀραβία ἀμιλλῶνται

8 Σεπτεμβρίου 2016

Τὸ Ἰρᾶν καὶ ἡ Σαυδικὴ Ἀραβία ἅμιλλαν (διὰ λόγων) ποιοῦνται· πάντες μὲν ἴσμεν ὅτι ὡς ἐπὶ τὸ πολὺ αὗται αἱ δύο χῶραι ἀεὶ πρὸς ἀλλήλας ὑβριστικοὺς λόγους ῥίπτουσιν, νῦν δὲ ἡ ἐφορμή, καίπερ μόνον ἀπὸ στόματος οὖσα, καθ' ἡμέραν αὐξάνεται· τήμερον, παραδείγματος ἕνεκα, ὁ τοῦ Ἰρᾶν πρόεδρος τὰς ἄλλας Μουσουλμάνας χώρας ᾔτησε τὴν Σαυδικὴν Ἀραβίαν κολάζειν.

ἡ δὲ αἰτία, τίς ἐστιν; ἡ ἐνιαύσιος πορεία ἡ τῶν Μουσουλμάνων πρὸς τὴν Μέκκαν, ἱερώτατον

τῷ Ἰσλᾶμ τόπον, ἐν τῇ Σαυδικῇ Ἀραβίᾳ κείμενον. αἱ δύο χῶραι οὐχ ὁμολογοῦσι περὶ τούτου, ὅπως δεῖ τοὺς Μουσουλμάνους ἐκ τοῦ Ἰρᾶν ἀφικομένους τῆς ἐνιαυσίου συλλογῆς μετέχειν.

αὕτη ἡ πορεία ἀεὶ χαλεπωτάτη ἐγένετο τοῖς Ἰρανίοις, οὐ μόνον ἡ πορεία ἀλλὰ καὶ ἡ συλλογὴ αὐτή, οἱ μὲν γὰρ πλεῖστοι τῶν της Σαυδικῆς Ἀραβίας πολιτῶν τυγχάνουσι σουνίται ὄντες, οἱ δὲ πλεῖστοι τῶν τοῦ Ἰρᾶν πολιτῶν σιίται, ἡ δὲ φιλία πρὸς ἀλλήλους οὔκ ἐστιν, ὡς ἔπος εἰπεῖν, βελτίστη. ὅμως δὲ οὐδεὶς φοβεῖται μὴ πόλεμος ἀπὸ τούτου γένηται.

Τὸν John Hinckley ἐλευθεροῦσιν

13 Σεπτεμβρίου 2016

Ὁ John Hinckley, ὁ ἀνὴρ ὃς τῷ 1981ῳ ἔτει ἐπείρασε τὸν τότε τῶν ΗΑΠ πρόεδρον Ronald Reagan ἀποκτείνειν, ἐκ τοῦ δεσμωτηρίου νεωστὶ ἠλευθερώθη. ἴσως δεῖ λέγειν ὅτι τῷ ὄντι ὁ J.H. οὐκ ἐν δεσμωτηρίῳ ἀλλὰ ἐν ψυχιατρικῷ νοσοκομείῳ ἦν, οὗ τριάκοντα ἔτη ἔκειτο ἐξ οὗ κατεδικάσθη. οἱ δικασταὶ αὐτὸν ἀπέλυσαν νῦν ἐφ' ᾧτε οἰκεῖν μετὰ τῆς μητρός, νῦν ἐνενήκοντα ἔτη γεγονυίας. ὁ J.H. καὶ ἡ μήτηρ οἰκήσουσιν ἐν τῇ πόλει Williamsburg, διακόσια καὶ τετταράκοντα χιλιόμετρα τῆς πρωτευούσης Washington ἀπεχούσῃ.

διὰ τί ὁ J.H. ἐκείνῃ τῇ ἡμέρᾳ ἐποίησεν ὃ ἐποίησεν; πάντες οἱ τότε, δικασταί τε καὶ πολῖται, μάλιστα ἐθαύμασαν ἐν τῇ δίκῃ ἀκούσαντες αὐτοῦ τὴν αἰτίαν ἀποδεικνύντος· ἐβούλετο τὴν ἔνδοξον ἠθοποιὸν Jodie Foster, ἧς ἥρα, κινεῖν (διὰ δὲ τοῦτο αὐτὸν οὐκ εἰς δεσμωτήριον ἀλλὰ εἰς ψυχιατρικὸν νοσοκομεῖον εἰσέβαλον). τῷ J.H., τότε τριάκοντα ἔτη γεγονότι (ἑξήκοντα καὶ ἓν τὸ νῦν) καὶ μέγιστόν τι ποιεῖν βουλομένῳ ὃ πάντες θαυμάσαιεν, τὸν πρόεδρον R.R. ἀποκτεῖναι ἔδοξεν, πυροβολήσας δὲ αὐτὸν ἐκ συλλογῆς τινος ἐξιόντα καὶ πρὸς τὸ αὐτοκίνητον προσιόντα ἔτρωσεν οὐδὲ ἀποκτείνειν ἐδυνήθη, οἱ γὰρ φύλακες οἱ περὶ τοῦ προέδρου ταχέως αὐτὸν κατέσχον. ἐν τῇ φωτογραφίᾳ ἔξεστιν ἰδεῖν τοὺς φύλακας τὸν πρόεδρον, ἤδη τρωθέντα, εἰς τὸ αὐτοκίνητον εἰστιθέντας.

Ἀνατιναγμὸς ἐν τῷ Μαγχάταν

18 Σεπτεμβρίου 2016

Χθὲς τῆς δείλης ἀνατιναγμὸς ἐγένετο ἐν τῇ πόλει Νέᾳ Ὑόρκῃ, ἐν τῷ δήμῳ Μαγχάταν· εἴκοσι μὲν ἐννέα ἄνθρωποι ἐτρώθησαν, οὐδεὶς δὲ ἀπέθανεν. ὁ τῆς πόλεως δήμαρχος, Bill de Blasio, καίπερ εἰπὼν ὅτι δῆλος εἴη οὗτος ὁ ἀνατιναγμὸς ἐκ προνοίας γενόμενος, οὐκ ἐβούλετο τῷ λόγῳ "τρομοκρατία" χρῆσθαι, εἶπεν γὰρ ὅτι οὐκέτι εἰδεῖεν πότερον οἱ τοῦτο ποιήσαντες σύνδεσμόν τινα ἔχοιεν ταῖς τρομοκρατικαῖς διεθνέσιν ὁμάσιν.

οἱ φύλακες, ταχέως ἀφικόμενοι καὶ πάντα τὰ κύκλῳ ἐπισκοποῦντες, ηὗρον δεύτερον μηχάνημα οὐ μακρὰν ἀπὸ τοῦ τόπου οὗ ὁ ἀνατιναγμὸς ἐγένετο, ὅμως δὲ αὕτη ἡ δευτέρα βόμβα τύχῃ οὐκ ἀνετινάχθη. τὴν ἀγυιὰν ἐν ᾗ αἱ δύο βόμβαι ἔκειντο οὐ κατα τύχην εἵλοντο οἱ τρομοκράται, διὰ γὰρ ταύτης τῆς ἀγυιᾶς ἔδει τότε τοὺς ἀθλητικοῦ ἀγῶνος τινὸς μετέχοντας διατρέχειν· ἡ μὲν τοῦ ἀγῶνος ἀρχὴ ὑστέρησεν, αὕτη δὲ ἡ ἀναβολὴ πολλοὺς βίους ἔσωσεν, εἰ γὰρ ὁ ἀνατιναγμὸς τότε ἐγένετο πολλοὶ ἄνθρωποι ἀπέθανον ἄν.

Ἡ πόλις Ῥώμη οὐ βούλεται τὰ τοῦ 2024ου ἔτους Ὀλύμπια

23 Σεπτεμβρίου 2016

Ἡ τῆς Ῥώμης δήμαρχος, ἡ Virginia Raggi, εἶπε τήμερον ὅτι οὐ βούλοιτο τὰ Ὀλύμπια τὰ τοῦ 2024ου ἔτους ἐν τῇ πόλει Ῥώμῃ γενέσθαι. ὡς ἐπὶ τὸ πολύ, δέον πόλιν τινὰ αἱρεῖσθαι τοῖς Ὀλυμπίοις, ἐν ἑκάστῃ πόλει εἰσὶν μὲν οἵτινες, νομίζοντες τοῦτο τὴν πόλιν εἰς τὸ βέλτιον μεταβαλεῖν, βούλονται αὐτὰ δέχεσθαι, εἰσὶ δὲ καὶ οἵτινες, φοβούμενοι μὴ πλέον τοῦ δέοντος ἀποτίνειν δέῃ, τοῦτο παντελῶς ἀπωθοῦσιν.

τὰ Ὀλύμπια ἤδη ἐν τῇ Ῥώμῃ τῷ 1960ῳ ἔτει ἐγένετο, λέγει δὲ ἡ V.R. ὅτι ἡ μὲν πόλις ἔτι καὶ νῦν ἐκείνους τοὺς ἀγῶνας ἀποτελεῖ, οἱ δὲ πολῖται προαιροῦνται τούτοις τοῖς χρήμασι πρὸς ἄλλα ἀναγκαῖα χρῆσθαι· εἶπε δὲ καὶ ὅτι “οἱ πολῖται ἐκέλευσαν ἡμᾶς περὶ τῆς πόλεως ἐπιμελεῖσθαι οὐδὲ δεόμεθα μεγάλων ἱερῶν ἐν τῇ ἐρημίᾳ· ἐὰν γὰρ τὰ Ὀλύμπια δεχώμεθα, τοὺς ἀγῶνας πολλὰ ἔτη ἀποτείσομεν.“

οὕτω ἰσχυρὸς τὸ περὶ τούτου βούλευμα ἐστὶν ὥστε τὸν Giovanni Malagó, φερέφωνον τῆς Ἰταλικῆς Ὀλυμπιακῆς Ἐπιτροπῆς, δέχεσθαι οὐκ ἐβούλετο.

Ὁ Δουτέρτη πάντας τοὺς τοξικομανεῖς ἀποκτεῖναι βούλεται

30 Σεπτεμβρίου 2016

Ὁ τῶν Φιλιππίνων πρόεδρος Ῥοδρίγω Δουτέρτη, ἀπὸ τοῦ Βιετνὰμ ἐπανελθών, εἶπεν ὅτι βούλοιτο τρία ἑκατομμύρια τοξικομανῶν ἀποκτεῖναι, εἶπε γὰρ τοῖς δημοσιογράφοις ὅτι “νῦν ἐνθάδε πάρεστι τρία ἑκατομμύρια τοξικομανῶν· ἀρέσκοι μοι ἂν πάντας ἀποκτεῖναι.“

ὁ Δουτέρτη ἐκ πολλοῦ ἐνίκησεν ἐν ταῖς τελευταίαις ἀρχαιρεσίαις ὑποσχόμενος ὅτι τέλος ἐπιθήσοι τοῖς τε ναρκωτικῶν ἐμπόροις καὶ τῇ παρανομίᾳ, ἐκ δὲ τούτου συνεχῶς ἐποτρύνει οὐ μόνον τοὺς φύλακας ἀλλὰ καὶ τοὺς πολίτας ἵνα ναρκωτικῶν τε ἐμπόρους καὶ τοξικομανεῖς ἀποκτείνωσιν.

ἐξ οὗ εἰς τὴν ἀρχὴν ἀφίκετο (τῇ 30ῃ Ἰουνίου), τρισχίλιοι καὶ πεντακόσιοι ἄνθρωποι ἀπέθανον ἐν τούτῳ τῷ ἐπὶ τὸν τῶν φαρμάκων κόσμον πολέμῳ ὃν ὁ Δουτέρτη ἐπήγγειλεν· αἵ τε ΗΑΠ καὶ ἡ Εὐρωπαικὴ Ἕνωσις τοῦτο μεμφόμεναι αἰτιῶνται αὐτὸν τοσούτου φόνου, ὁ δὲ Δουτέρτη ταῦτα ἀκούσας οὐ σιγᾷ ἀλλὰ ἀποκρινάμενος μέμφεται ὅπως αἱ ΗΑΠ καὶ ἡ ΕΕ τοῖς ἐκ τῆς Συρίας ἐκφεύγουσι χρῶνται.

Δεινὴ θύελλα ἐν τῇ Αἰτῇ

7 Ὀκτωβρίου 2016

Ἤδη πλείονες ὀκτακόσιοι ἄνθρωποι ἐν τῇ Αἰτῇ, ἐν τῇ Καραιβικῇ θαλάττῃ, τῇ θυέλλῃ “Ματθαίῳ“ καλουμένῃ ἀπέθανον· αὕτη ἡ θύελλα, καθ' ἡμέραν ἰσχυροτέρα τε καὶ δεινοτέρα γενομένη, διὰ τῆς Αἰτῆς προχωροῦσα πάντα διέφθειρεν ἅττα ἐντυχοῖτο· οἰκοδομήματα, αὐτοκίνητα, ὁδούς, γεφύρας... νῦν δὲ πρὸς τὴν παραλίαν τὴν τῶν ΗΑΠ προχωρεῖ, πρὸς τὴν πολιτείαν Φλόριδαν, οὗ δώδεκα ἑκατομμύρια ἀνθρώπων ἐνοικοῦσιν. τῆς θυέλλης προχωρούσης, ἤδη δύο ἑκατομμύρια ἀνθρώπων τὰς ἑαυτῶν οἰκίας ἀπολιπόντες τῆς ἀσφαλείας ἕνεκα ἐν καταφυγαῖς τούτῳ παρεσκευασμέναις μένουσιν, πάντα δὲ τὰ ποτήματα κατελύθη· ὁ δὲ τῆς πολιτείας ἄρχων, ὁ Rick Scott, εἶπεν τήμερον ὅτι, τῆς θυέλλης διὰ τῆς Φλορίδας διελθούσης, οἱ πλεῖστοι τῶν πολιτῶν ἠλεκτρικὴν ἐνέργειαν οὐχ ἕξοιεν.

οἱ πολῖται οἱ τὰς οἰκίας οὐκ ἀπολελοίπασιν ἤδη ἤρξαντο ἐν τοῖς τῶν οἰκιῶν ὑπογείοις ὕδωρ τε καὶ σῖτον ἀθροίζειν, ἴσως γὰρ δεήσει αὐτοὺς ἡμέρας τινὰς ἐκεῖ μένειν, διὰ δὲ τούτου χαλεπὸν ἐγένετο τήμερον ἐν καπηλείοις τισὶ σῖτον τε καὶ ἄλλα ἐπιτήδεια κτᾶσθαι.

ἐν τῇ Αἰτῇ ἔδει τῇ ἐπιγιγνομένῃ Κυριακῇ ἀρχαιρεσίας ποιεῖσθαι, ἀλλὰ οἱ ἄρχοντες αὐτὰς κατέλυσαν ἕως ἂν ἐξῇ τοῦτο τὸ ἀπροσδόκητον δυστύχημα ἐπανορθοῦν.

Ἆρα τί ποιήσει νῦν ὁ τῆς Κολομβίας πρόεδρος;

14 Ὀκτωβρίου 2016

Ἤδη ἀκηκόαμεν περὶ τῆς συναλλαγῆς ἣν ἡ τῆς Κολομβίας ἀρχὴ καὶ αἱ FARC ὑπέγραψαν, ταύτῃ γὰρ τῇ συναλλαγῇ τέλος ἐπέθεσαν τῷ πολέμῳ τοσαῦτα ἔτη διαμένοντος (πεντήκοντα δύο ἔτη ἐμαχήσαντο)· ὅμως δέ, πάντων τούτου ἕνεκα χαιρόντων καὶ ἐπαινούντων, οἱ τῆς Κολομβίας πολῖται ταύτην τὴν συναλλαγὴν οὐκ ἐδέξαντο, αὐτὴν γὰρ τῇ δευτέρᾳ Ὀκτωβρίου ἐν τοῖς κάδοις ἀπέωσαν, ἀλλὰ αὕτη ἡ ἀπώθησις ἀθυμίαν οὐδαμῶς παρέσχε τῷ προέδρῳ Ἰωάννῃ Μανουὴλ Σάντος (ἐν τῇ φωτογραφίᾳ), ὃς τὸ Νόβελ τῆς Εἰρήνης Ἆθλον νεωστὶ ἐδέξατο, ἤγγειλε δὲ οὗτος προχθὲς ὅτι βούλοιτο τοῖς τῷ "οὐκ" ἐπικουροῦσι συνελθεῖν ἵνα λύσιν τινὰ τῷ προβλήματι εὑρίσκοιεν (ἡ ἐν τοῖς κάδοις ἀπώθησις ἀπροσδόκητος ἥξεν), πάντα γὰρ δέοι ποιεῖν πλὴν εἰς τὸν πόλεμον αὖθις ἐπανελθεῖν.

ὁ ἡγεμὼν ὁ τῶν τὴν συναλλαγὴν ἀπωθούντων ὁ πρότερος τῆς χώρας πρόεδρος Ἄλβαρος Οὐρίβη ἐστίν, ὃς ἰσχυρίζεται οὐκ ἐξεῖναι τοσαῦτα ἀδικήματα ταῖς FARC συγγνῶναι, οἱ δὲ πλεῖστοι τῶν τὴν αὐτὴν γνώμην ἐχόντων συγγενεῖς εἰσιν τῶν ὑπὸ τῶν FARC ἀποθανόντων. χαλεπώτατον ἔσται τῷ Ι.Μ. Σάντος λύσιν εὑρεῖν.

Τὸ Ἰαπωνικὸν πρόβλημα "karoshi" καλούμενον

21 Ὀκτωβρίου 2016

Λέγεται ἀεὶ ὅτι “ὁ πόνος ἀποκτείνει“, πολλάκις μὲν γὰρ ταύτην τὴν φράσιν ἀκηκόαμεν, πάντες δὲ ἴσμεν ὅ τι τοῦτο σημαίνει· τῆς ἡμέρας τελευτησάσης, οἴκαδε ἀφικόμεθα μάλιστα κεκμηκότες ὡσεὶ ἀπὸ μάχης τινὸς ἀφικοίμεθα. ὅμως δὲ τοῦτο ἴσως μὲν εἴη ἂν ἡμῖν γελοία φράσις, ἐν δὲ τῇ Ἰαπωνίᾳ χαλεπώτατον πρόβλημα γέγονεν, τοσοῦτο δὲ πρόβλημα τοῦτο γέγονεν ὥστε αὐτῷ λόγον ἔχουσιν· "karoshi." τί δὲ σημαίνει οὗτος ὁ νεολογισμός; σημαίνει τὸ ἀποθνῄσκειν τοῦ ἄγαν κάμνειν ἕνεκα.

οἱ πλεῖστοι τῶν ἐργαστῶν πολλάκις πλείονας ὥρας τοῦ δέοντος ἐργάζονται, ὃ πάντες “ὑπερωριακὴν ἐργασίαν“ καλοῦμεν, ἀλλὰ αὕτη μὲν ἡ πρᾶξις εἰς τὸ ἔσχατον ἀφικνεῖται ἐν τῇ Ἰαπωνίᾳ, τὸ δὲ ἀποβαῖνον πολλάκις φοβερώτατόν ἐστιν· παραδείγματος ἕνεκα, τῷ τελευταίῳ ἔτει 2,159 ἄνθρωποι ἑαυτοὺς ἀπέκτειναν ἐν τῇ Ἰαπωνίᾳ τοῦ karoshi ἕνεκα, οὐδεὶς δὲ θαυμάζει ὁρῶν ἀνθρώπους ἤδη νυκτὸς ἐκ τῶν ἐργαστηρίων ἐκτρέχοντας ἵνα εἰς τὸν τελευταῖον σιδηρόδρομον εἰσβαίνωσιν ἅτε μέχρι ἐκείνης τῆς ὥρας μείναντες.

ἀλλὰ τίς ἐστιν ἡ γένεσις τούτου τοῦ προβλήματος; τοῦ Δευτέρου Παγκοσμίου Πολέμου τελευτήσαντος, δέον τοὺς πολίτας τὴν διαφθαρεῖσαν χώραν αὖθις ἐπαίρειν, πάντες οἱ τότε ἐνόμιζον τὴν ἑαυτοῦ ἐπιχείρησιν τὸ αὐτὸ καὶ τόν τε οἶκον καὶ τὴν συγγένειαν εἶναι, ἃ πόνον τε καὶ πίστιν αἰτεῖ, οὐδένα δὲ λανθάνει τοῦτο τό νόημα ἔτι καὶ νῦν ἐν τῇ Ἰαπωνικῇ κοινωνίᾳ διαμένον.

Τὴν Σιαρβὰτ Γοῦλα κατέχουσιν ἅτε ψευδῆ γράμματα ἔχουσαν

28 Ὀκτωβρίου 2016



Πάντες εἴδομεν τὴν ἐνδοξοτάτην φωτογραφίαν τὴν τῆς ἐκδόσεως National Geographic, τὴν φωτογραφίαν (ἣν ἐνθάδε ἰδεῖν δυνάμεθα) Ἀφγανὴν κόρην δεικνυμένην· ὅμως δὲ τὴν ταύτης τῆς φωτογραφίας γένεσιν οὐ πάντες γιγνώσκουσιν.

τῆς Ῥωσσίας εἰς τὸ Ἀφγανιστᾶν τῷ 1979ῳ ἔτει εἰσβαλούσης, δύο ἑκατομμύρια Ἀφγανῶν εἰς μὲν τὸ Πακιστᾶν ἐξέφυγον, ἐκεῖ δὲ ἔμειναν οὐκ ἐξὸν εἰς τὴν ἑαυτῶν χώραν ἐπανελθεῖν· ὁ δὲ φωτογράφος Στέφανος ΜκΚοῦρρι, ὃς ἔτυχε τῷ 1985ῳ ἔτει ἐν τῷ Πακιστᾶν περὶ τῶν φυγάδων ἐξετάζων, ταύτην τὴν κόρην Σιαρβὰτ Γοῦλα τῷ ὀνόματι ἐν τῇ πόλει Πεσιαβὰρ ἰδὼν ἐν σκηνῇ τινὶ οἰκοῦσαν (ὡς οἱ πλεῖστοι τῶν φυγάδων), φωτογραφίαν αὐτῆς ἐποίησεν. ἡ φωτογραφία ταχέως σύμβολον τῆς φωτογραφικῆς τέχνης τῶν χλωρῶν τῆς κόρης ὀφθαλμῶν ἕνεκα ἐγένετο.

ἔπειτα δέ, τῷ 2002ῳ ἔτει, ὁ αὐτὸς φωτογράφος αὖθις αὐτῇ συντυχὼν μάλιστα ἐθαύμασεν, ἡ γὰρ κόρη οὐκ ᾔδει οὔτε ἔνδοξος γενομένη οὔτε τὴν ἑαυτῆς φωτογραφίαν ἐν τῇ National Geographic ἐκδοθεῖσαν.

νεωστὶ δὲ οἱ Πακιστανοὶ φύλακες αὐτὴν κατέσχον, ᾔσθεσαν μὲν γὰρ αὐτὴν ψευδῆ γράμματα ἔχουσαν ὡσεὶ Πακιστανὴ πολῖτις εἴη (Ἀφγανή ἐστιν), περὶ δὲ τούτου ἐξετάσαντες ηὗρον αὐτὴν τρεῖς δημοσίους ὑπηρέτας ἀργυρίῳ διαφθείρασαν ταῦτα τὰ ψευδῆ γράμματα παρὰ τοὺς νόμους κτησαμένην.

Νέον πρόβλημα περὶ τοῦ “βρέξιτ“

4 Νοεμβρίου 2016

Περὶ τοῦ καλουμένου “βρέξιτ“ (ὡς πάντες ἤδη ἴσμεν, τοῦτο σημαίνει τὴν ἔξοδον τοῦ Ἡνωμένου Βασιλείου ἐκ τῆς Εὐρωπαικῆς Ἑνώσεως), νεωστὶ νέον πρόβλημα ἐπεφάνη.

τοῦ μὲν ψηφίσματος τοῦ περὶ τοῦ βρέξιτ τῷ μηνὶ Ἰουνίῳ γενομένου, ἐν ᾧ ἔδει τοὺς Βρετανικοὺς πολίτας διακρίνεσθαι πότερον βούλοιντο τὴν ἑαυτῶν χώραν ἐν τῇ ΕΕ μένειν ἢ οὔ, οἱ βουλόμενοι τὴν ΕΕ καταλιπεῖν ἐνίκησαν, πάντα οὖν κατὰ τοὺς νόμους γενέσθαι ἐῴκει, χθὲς δὲ τρεῖς Βρετανικοὶ δικασταὶ διέκριναν ὅτι οὐ μὲν ἐξείη τῷ ΗΒ τὴν ΕΕ καταλιπεῖν τῆς Βουλῆς μὴ ὁμολογούσης, ἀναγκαῖον δὲ οὖν εἴη τῇ Βουλῇ περὶ τῆς ἐξόδου ψηφίζεσθαι.

τοῦτο ἀπροσδοκήτως ἐπὶ τοῖς ἐν τέλει κατέπεσεν, οἵ, νομίσαντες ταύτην τὴν κρίσιν οὐ δικαίαν εἶναι, ταχέως ἀπεκρίναντο ὅτι πειράσοιντο τοῦτο τὸ ψήφισμα κωλύειν, ἐν νῷ γὰρ ἔχουσι πρὸς τὴν ΕΕ περὶ τῆς ἐξόδου τῷ μηνὶ Μαρτίῳ λόγους ποιεῖσθαι.

νῦν δὲ αὕτη ἐστὶ ἡ ἀμφισβήτησις περὶ ἧς πολλοὶ διαλέγονται, πότερον δημοκρατικώτερόν ἐστι τοῖς κάδοις πείθεσθαι ἢ τῇ Βουλῇ, ὃ χαλεπώτατόν χρῆμά ἐστιν, πᾶσι ἐξὸν τὴν γνώμην ἀποφαίνεσθαι ἥντινα ἂν ἕκαστος βούληται.

Ὁ Δόναλδ Τρᾶμπ ἐν ταῖς ἀρχαιρεσίαις νικᾷ

11 Νοεμβρίου 2016

Ὁ Δόναλδ Τρᾶμπ, ἐν ταῖς ἀρχαιρεσίαις νεωστὶ πεποιημέναις ἀπροσδοκήτως νικήσας, ὁ ἐπιγιγνόμενος τῶν ΗΑΠ πρόεδρος γενήσεται. δέον τοὺς Ἀμερικανοὺς πολίτας νέον πρόεδρον αἱρεῖσθαι, ἥ τε Ἵλλαρι Κλίντον (γυνὴ τοῦ προτέρου προέδρου Βῖλ Κλίντον, 1993-2001) καὶ ὁ Δόναλδ Τρᾶμπ ἐφίεντο τῷ Βᾶρακ Ὀβάμα διαδέχεσθαι, τοῦτο δὲ κτᾶσθαι πειρώμενοι τοὺς τελευταίους μῆνας διέτριψαν τοὺς πολίτας ἀναπείθοντες καὶ ἕτερος ἑτέρου κατηγοροῦντες πάντα τὰ ἐν τῷ κόσμῳ κακά.

ὡς μὲν ἐπὶ τὸ πολύ, ὁπόταν δύο εἰς ἀρχὴν παραγγέλλωσιν ἀεὶ ἔνθα καὶ ἔνθα διαφέρουσιν (περὶ τῆς οἰκονομίας, περὶ τῆς πρὸς τὰς ἄλλας χώρας κοινωνίας, κτλ.), νῦν δὲ αἱ δύο αἰτίαι δι' ἃς αὗται αἱ ἀρχαιρεσίαι ἴδιαι ἐγένοντο αἵδε εἰσίν, ἡ μὲν πρώτη ὅτι οἱ δύο παραγγέλλοντες οὕτως διαφέρονται ὡς οὐδέποτε τὸ πρότερον δύο ἄλλοι παραγγέλλοντες διηνέγκοντο, ἡ δὲ δευτέρα ὅτι οἱ πλεῖστοι ἐνόμιζον τὴν Ἱ. Κλίντον νικήσειν.

ὅ τι ποιήσει νῦν ὁ Δ. Τρᾶμπ εἰς τὴν ἀρχὴν ἀφικόμενος (τῷ ὄντι κατὰ τοὺς νόμους πρόεδρος γενήσεται τῷ Ἰανουαρίῳ μηνί) ἀγνωστόν ἐστιν, πολλάκις γὰρ πρῶτον μὲν τοῦτο καὶ ἐκεῖνο ὑπισχνοῦνται ποιήσειν ἵνα τὴν νίκην κτῶνται, ἔπειτα δὲ ἐκεῖνο ὃ ὑπέσχοντο εἴτε οὐ βούλονται εἴτε οὐ δύνανται ποιεῖν, τὰ οὖν γενησόμενα μένειν δεῖ.

Ταχέως ἐργάζονται ἐν τῇ Ἰαπωνίᾳ

18 Νοεμβρίου 2016

Ἆρα τί οὐκ ἔξεστι τοῖς Ἰάπωσι ποιεῖν; νεωστὶ ἐν τῇ πόλει Φουκουκόα δυστύχημα μέγα ἐγένετο (τύχῃ οὐδεὶς ἄνθρωπος ἐτρώθη), ἀγυιά γάρ τις τοσαύτη ὥστε πέντε αὐτοκίνητα παράλληλα προχωρεῖν δύναται κατέδυ, ὃ ἔξεστιν ἡμῖν ἐν τῇ ἀριστερᾷ φωτογραφίᾳ ἰδεῖν. κατὰ τοὺς ἐμπείρους τὸ ὑπόγειον ὕδωρ αἴτιον ἦν τούτου τοῦ ὀρύγματος, τριάκοντα μὲν μέτρα τὸ εὖρος, πεντεκαίδεκα δὲ τὸ βάθος ὄντος. τούτου δὲ γενομένου, οὐ μόνον οὐκ ἐξῆν διὰ ταύτης τῆς

ἀγυιᾶς διαπορεύεσθαι ἀλλὰ καὶ οἱ ἐν ἐκείνῳ τῷ τῆς πόλεως δήμῳ οὔτε ἠλεκτρικὴν δύναμιν οὔτε ἀέριον οὔτε ὕδωρ ἐδέχοντο ἐν ταῖς οἰκίαις.

τούτων οὕτως ἐχόντων, οἱ ἐργασταὶ τοὺς σωλῆνας τοὺς τῆς ἠλεκτρικῆς δυνάμεως καὶ τοῦ ὕδατος καὶ τοῦ ἀέριου ἀνασκευάσαντες (τοῦτο γὰρ τὸ ἀναγκαιότατον ἦν) τὸ ὄρυγμα ἀνέπλησαν καὶ τὴν ἀγυιὰν αὐτὴν αὖθις ἔστρωσαν, τοῦ δὲ ἔργου τελευτήσαντος εἶπεν ὁ δήμαρχος, συγγνώμην αἰτήσας τοὺς πολίτας τῶν ἐνοχλήματων ἕνεκα, ὅτι τοῦτο τὸ τῆς ἀγυιᾶς μέρος νῦν δεκάκις ἰσχυρότερον εἴη ἢ τὸ πρότερον.

νῦν ἴσως λέγοι ἄν τις "ἀλλὰ διὰ τί τοῦτο θαυμάσιον ἐστίν; τὸ γὰρ αὐτὸ πανταχοῦ γίγνεται ἐπειδὰν ὄρυγμά τι φαίνηται." ὃ δὴ θαυμάσιον ἐγένετο οὔκ ἐστιν ὃ πεποιήκασιν ἀλλὰ ὅπως ταχέως πεποιήκασιν, τὴν γὰρ περὶ ἑαυτῶν εὔκλειαν ἀληθῆ οὖσαν δεικνύντες μιᾶς ἑβδομάδος τοῦτο ἔπραξαν, τὸ δὲ ἀπόβημα οὕτως ἄριστόν ἐστιν ὥστε οὐκ ἔξεστιν ἴχνος τι τοῦ δυστυχήματος ἰδεῖν.

ἡ πόλις Φουκουκόα πέμπτη ἐστὶ τῆς Ἰαπωνίας κατὰ τὸ μέγεθος.

Τοῦ τῆς Jo Cox δολοφόνου καταγιγνώσκουσιν

24 Νοεμβρίου 2016

Πάντες ἀκηκόαμεν περὶ τοῦ φόνου ὃς ἐγένετο τῷ μηνὶ Ἰουνίῳ ἐν τῷ Λονδίνῳ· δέον τοὺς Βρετανικοὺς πολίτας ψηφίζεσθαι πότερον βούλοιντο ἐν τῇ Εὐρωπαικῇ Ἑνώσει μένειν ἢ ἐκ τῆς ΕΕ ἐξιέναι, πολλῶν πολιτῶν ἀγρίως πρὸς τοῦτο ἀλλήλοις φιλονεικούντων, ἀνήρ τις πεντήκοντα τρία ἔτη γεγονὼς (τὸ ὄνομα αὐτοῦ Thomas Mair ἐστιν) τὴν βουλευτίδα Jo Cox ἀπέκτεινεν.

ἐν τῇ πολιτικῇ μάχῃ περὶ τοῦ οὕτως "Βρέξιτ" καλουμένου ἡ μὲν βουλευτὶς Jo Cox, τῷ μὲν ἐν

τῇ ΕΕ μένειν σφόδρα ἐπικουροῦσα, σύμβολον ἐγένετο ταύτης τῆς θέσεως, ὁ δὲ τρομοκράτης Τ. Μ., τὸ Ἡνωμένον Βασίλειον βουλόμενος τὴν ΕΕ καταλιπεῖν, αὐτὴν ἀπέκτεινεν.

ἡ Jo Cox, τετταράκοντα ἓν ἔτη γεγονυῖα, ἐν τῇ πόλει Birstall ᾤκει, οὗ πάντες οἱ γείτονες αὐτὴν πολλοῦ ἐποιοῦντο. τῇ 16ῃ τοῦ Ἰουνίου μηνός, ἐκ τοῦ αὐτοκινήτου ἐκβᾶσα, ἡ Jo Cox πρὸς τὴν τῆς πόλεως βιβλιοθήκην βραδέως ἐβάδιζεν ἐν ᾗ ἔδει αὐτὴν πολίταις τισὶ συνελθεῖν, ὁ δὲ Τ. Μ. αὐτῇ προσχωρήσας καὶ μεγάλῃ φωνῇ βοῶν ὅτι "τοῦτο ὑπὲρ τοῦ Ἡνωμένου Βασιλείου ποιῶ" καὶ ἄλλα ὁμοῖα πρὸς αὐτὴν ἐπυροβόλησεν.

κατὰ τοὺς δικαστὰς οἳ αὐτοῦ ἐν τῷ δεσμωτηρίῳ εἰσαεὶ μένειν χθὲς κατέγνωσαν ὁ Τ. Μ. τοῦτον τὸν φόνον πολὺν χρόνον παρεσκεύασεν, ἐπύθοντο γὰρ ὅτι οὗτος ὁ ἀνὴρ πολλὰς ἑβδομάδας ἐν τῇ βιβλιοθήκῃ ἠλεκτρονικὰς οὐ μόνον περὶ ὅπλων σελίδας ἀλλὰ καὶ περὶ τοῦ φόνου τοῦ προέδρου Kennedy καθ' ἡμέραν ἐξέταζεν.

Ὁ Andrew Sachs "Μανουὴλ" ἀποθνῄσκει

2 Δεκεμβρίου 2016

Ὁ ἔνδοξος ὑποκριτὴς Andrew Sachs, ὃν οἱ πλεῖστοι γιγνώσκουσιν ὡς "Μανουήλ", νεωστὶ ἀπέθανεν ὀγδοήκοντα ἓξ ἔτη γεγονώς. τῷ μὲν ὄντι ὁ A.S. τῇ 23ῃ Νοεμβρίου ἀπέθανεν, τὸ δὲ ἄγγελμα χθὲς εἰς τοὺς δημοσιογράφους ἀφίκετο. ἡ Melody Sachs, ἡ γυνὴ αὐτοῦ, εἶπεν ὅτι ὁ A.S., καίπερ παραφροσύνην τὰ τελευταῖα τέτταρα ἔτη πάσχων, εὖ μὲν μέχρι τοῦ τέλους βιώσειεν, οὐδέποτε δὲ ὀδύραιτο.

ὁ A.S., ἐν τῇ Γερμανίᾳ γενόμενος καὶ νεανίας εἰς τὴν Ἀγγλίαν ἀφικόμενος, πολλάκις τῇ τηλεοράσει ἠργάζετο ἐνίοτε μὲν τοῦτο τὸ πρόσωπον ὑποκρινόμενος, ἐνίοτε δὲ ἐκεῖνο, ἀλλὰ ἐνδοξότατος ἐγένετο τοῦ ὁρμαθοῦ "Fawlty Towers" ἕνεκα. ἐν τούτῳ τῷ ὁρμαθῷ ὁ A.S.

ὑπεκρίνατο ξένον τινὰ ὃς ἀπὸ τῆς πόλεως Βαρκελώνης εἰς τὴν Ἀγγλίαν ἀφικόμενος ἐργάζεται ὡς ὑπηρέτης ἐν ξενοδοχείῳ τινὶ ἐν ᾧ πάντες οἱ ἐνοικοῦντες τυγχάνουσιν ἴδιοι ὄντες· ὁ μὲν ὑπηρέτης, Μανουὴλ καλούμενος, τὴν Ἀγγλικὴν γλῶτταν ἀγνοεῖ, ἐκ δὲ τούτου πολλαὶ γελοῖαι καταστάσεις γίγνονται, ἄλλαι τε καὶ ὅταν ὁ Μανουὴλ πειρᾶται τῷ ἑαυτοῦ δεσπότῃ διαλέγεσθαι, οὐδέποτε γὰρ συνίησιν ὅ τι ὁ δεσπότης τῇ Ἀγγλικῇ γλώττῃ χρώμενος λέγει (ὁ δεσπότης ἦν ὁ ἔνδοξος ὑποκριτὴς John Cleese). ἐν τῇ φωτογραφίᾳ ἔξεστι τοὺς δύο ὑποκριτὰς ἰδεῖν πειρωμένους ἀλλήλους συνιέναι.

οὗτος ὁ ὁρμαθὸς τοῖς 1980-90 ἔτεσι ἔνδοξος ἐγένετο, πάντες δὲ περὶ αὐτοῦ καλὴν μνείαν ἔχομεν. τοῦτο τὸ ἄγγελμα γράφων ἐκεῖνον τὸν ἄριστον ὑποκριτὴν τιμῶ ὃς τοσάκις ἡμᾶς πάντας ἔτερπεν.

Ἡ τῆς Νοτίας Κορέας Βουλὴ τὴν πρόερον Πᾶρκ ἐκβάλλει

9 Δεκεμβρίου 2016

Ἡ τῆς Νοτίας Κορέας πρόεδρος Πᾶρκ, τῷ αἰσχρῷ ἔργῳ πολιορκηθεῖσα ὃ οἱ πολῖται “τὸ τῆς Κορεάνης Ῥασπουτίνης πρᾶγμα“ καλοῦσιν, ἐκ τῆς ἀρχῆς χθὲς ἐξεβλήθη. τῶν βουλευτῶν περὶ τῆς ἐκβολῆς ψηφισαμένων, δῆλον ἐγένετο πᾶσιν ὅτι οὐ μόνον οἱ τῶν ἄλλων κομμάτων βουλευταὶ ἐπὶ αὐτὴν ἐψηφίσαντο ἵνα ἐκβληθείη ἀλλὰ καὶ οἱ τοῦ τῆς προέδρου αὐτῆς κόμματος· τῆς δὲ ἑσπέρας, ἤδη ἐκ τῆς ἀρχῆς ἐκβληθεῖσα, ἡ οὐκέτι πρόεδρος Πᾶρκ διὰ τῆς τηλεοράσεως συγγνώμην ᾔτησε παρὰ τῶν πολιτῶν.

Πάντες ᾔδεσαν τοῦτο τὸ πρᾶγμα οὕτως τελευτῆσον, τῶν γὰρ προτέρων ἑβδομάδων μυρίοι πολῖται, ἐξ οὗ περὶ τοῦ πράγματος ἤκουσαν, ἐν ταῖς ἀγυιαῖς διὰ πάσης τῆς χώρας τὴν Βουλὴν ᾔτουν τὴν πρόεδρον ἐκ τῆς ἀρχῆς ἐκβαλεῖν.

ἆρα τί ἐστι τοῦτο τὸ πρᾶγμα, τοῦτο τὸ αἰσχρὸν ἔργον ὃ οἱ πολῖται “τὸ τῆς Κορεάνης Ῥασπουτίνης πρᾶγμα“ καλοῦσιν; ἥδε ἐστὶν ἡ ἀπόκρισις·

ἡ Σοῦν-σιλ, γυνή τις ἣ φίλη τῆς προέδρου τυγχάνει οὖσα, πρῶτον μὲν παρὰ τοὺς νόμους ὑπερμέγεθες πλῆθος χρημάτων ἐκτήσατο τῆς προέδρου ὠφελούσης, ἔπειτα δὲ βραχεῖ χρόνῳ ὕστερον μεγάλην ῥοπὴν εἶχεν ἐπὶ τὴν πρόεδρον αὐτὴν καίπερ οὐ βουλευτὶς οὖσα, τοῦτο δὲ πάντας ἀνέμνησε τὸ περὶ τοῦ Ῥασποῦτιν ἔνδοξον πρᾶγμα ἐν τῇ Ῥωσσίᾳ γενόμενον, τοῦ μυστικοῦ ἱερέως ὃς καὶ εἰ βουλευτὴς οὐκ ἦν πολὺ ἴσχυσεν ἐν τῇ ζαρίνῃ Ἀλεξάνδρᾳ Φιοδορόβνῃ.

Ἀναγκαῖόν ἐστι τὸν ὕμνον ἀκοῦσαι

15 Δεκεμβρίου 2016

Ἆρα βούλει εἰς τὸν κινηματογράφον ἰέναι; ἴσως ἀγαθὸν κινηματογραφικὸν ἔργον δεικνύασι καὶ ἐν νῷ ἔχεις τοῦτο θεᾶσθαι; εὖγε, ἴθι, ἀλλὰ πρὶν τὸ ἔργον θεᾶσθαι δεήσει σε τὸν ἐθνικὸν ὕμνον ἀναστάντα ἀκοῦσαι… ἐὰν ἐν τῇ Ἰνδίᾳ ᾖς. τίνος δ' ἕνεκα; διότι τὸ ὑψηλὸν δικαστήριον τῆς Ἰνδίας νέον νόμον ἐψήφισται καθ' ὃν δεῖ ἀναστῆναι καὶ τὸν ἐθνικὸν τῆς Ἰνδίας ὕμνον ἀκοῦσαι πρὸ ἑκάστης δείξεως.

τῆς διεθνοῦς κινηματογραφικῆς ἑορτῆς τὸ νῦν ἐν τῇ πόλει Κεράλᾳ ὑπαρχούσης, δώδεκα θεαταὶ ὑπὸ τῶν φυλάκων κατελήφθησαν προχθὲς ἅτε οὐκ ἀναστάντες ἵνα τὸν ὕμνον ἀκούοιεν. κατὰ τοῦτον τὸν νέον νόμον ἔξεστι τοῖς δικασταῖς τῶν μὴ τῷ νόμῳ πειθομένων τρία ἔτη καταγιγνώσκειν, ἀλλὰ ἡ κινηματογραφικὴ ἑταιρεία ἐξαίρετον ποιεῖν τὴν ἑορτὴν ᾔτησεν, πεντακόσια γὰρ κινηματογραφικὰ ἔργα (πεντακοσίους οὖν ὕμνους) μιᾶς ἑβδομάδος ἄγαν ἐστὶ καὶ τοῖς τὴν πατρίδα μᾶλλον ἢ τοῖς γονεῦσι φιλοῦσιν.

τῷ ὄντι οὗτος ὁ νόμος οὐ νέος ἐστίν, τῷ μὲν γὰρ 1962ῳ ἔτει τοῦ Ἰνδικὸ-Κινεζικοῦ πολέμου

τελευτήσαντος αὐτὸν κατέθεσαν, τοῦ δὲ χρόνου ἐξελθόντος πάντες τούτου τοῦ νόμου ἐπελάθοντο. νῦν αὖθις κύριος ἐγένετο.

ὅμως δὲ ἐξαίρετον ἐποίησαν οἱ δικασταί· ἐὰν ὁ θεατὴς τυγχάνῃ ἀδύνατος ὤν, ἐξέσται αὐτῷ μὴ ἀναστῆναι. τοῦτο ἴσως γέλοιον δοκεῖ εἶναι, ἀλλὰ νεωστὶ ὁ συγγραφεὺς Salil Chaturvedi ὑπὸ ἄλλου θεατοῦ τινος ἐπετέθη διότι οὐκ ἀνέστη… καίπερ ἀδύνατος ὢν καὶ ἐπὶ τροχηλάτου θρόνου καθήμενος.

Ἡ Σίνα τῷ Τρᾶμπ παραινεῖ

13 Ἰανουαρίου 2017

Ὁ Δόναλδ Τρᾶμπ, ὃς οὐ διὰ πολλοῦ πρόεδρος τῶν ΗΑΠ γενήσεται, ἴσως μὲν φίλος τῷ Ποῦτιν γενέσθαι βούλεται, ἡ δὲ πρὸς τὴν Κίνα διάθεσις αὐτοῦ ἐναντία ἔσται, ἐξ οὗ γὰρ ἐν ταῖς ἀρχαιρεσίαις νικήσας ὁ Τρᾶμπ ἤρξατο ἀποδεικνύναι ὅ τι ἐν νῷ ἔχει ποιεῖν ἁμίλλας πολλὰς πρὸς ταύτην τὴν χώραν ἔχει· πρῶτον μὲν τὴν Σίναν ὕβρισε τῇ Ταιβὰν φιλικῶς διακείμενος καὶ ἐμπορικὰς συνθήκας μετὰ αὐτῶν συγγράφων, νῦν δὲ νέα ἅμιλλα γεγένηται, αἱ νῆσοι αἱ ἐν τῇ τῆς Νοτίας Κίνας Θαλάττῃ.

τοῖς τοῦτο μηκέτι εἰδόσιν ἥδε ἡ τῆς ἁμίλλης ἀρχή ἐστιν· ἡ Σίνα, πολλῶν νεῶν γῆν σωρευουσῶν, ᾠκοδόμησε διὰ τέχνης νήσους τινὰς ἐν μέσῳ τῆς θαλάττης (δυνάμεθα ἐν τῇ φωτογραφίᾳ νῆσόν τινα τούτων ἰδεῖν), ὃ κατὰ πολλὰς χώρας, ἄλλας τε καὶ τὰς ΗΑΠ, παρὰ τοὺς νόμους ἐποίησεν· ὁ τῶν ΗΑΠ φερέφωνος εἶπε πρῶτον μὲν ὅτι δέοι τὴν Σίναν ταύτας τάς νήσους οἰκοδομοῦσαν παύεσθαι, ἔπειτα δὲ ὅτι αἱ ΗΑΠ κωλύσοιεν τὰς Σινικὰς ναῦς εἰς ταύτας τὰς νήσους ἀφίκεσθαι, οἱ γὰρ τεχνητοὶ δορυφόροι δεικνύασι τὰς νήσους ἤδη ἀερολιμένας τε καὶ πολεμικὰς ἐγκαταστάσεις ἐχούσας.

ἡ τῆς Σίνας τούτοις τοῖς λόγοις ἀπόκρισις τάχιστα ἀφίκετο· ἡ Σίνα νομίζει ταύτας τὰς νήσους

εἶναι μέρος τῆς Σινικῆς χώρας, διεβεβαιώσατο δὲ ὅτι ἐὰν εἴτε αἱ ΗΑΠ εἴτε ἄλλη τις χώρα πειρᾷ αὐτοὺς ἐκεῖσε ἀφίκεσθαι κωλύειν πόλεμος γενήσεται.

Τὸ τῆς Σενεγάλης στράτευμα εἰς τὴν Γαμβίαν φιλικῶς ἐμβάλλει

20 Ἰανουαρίου 2017

Χθὲς τῇ Πέμπτῃ μέρος οὐ μικρὸν τοῦ τῆς Σενεγάλης στρατεύματος εἰς τὴν Γαμβίαν ἐνέβαλεν, ὅμως δὲ τοῦτο οὐδαμῶς σημαίνει ὅτι πόλεμος γεγένηται τῇ Σενεγάλῃ πρὸς τὴν Γαμβίαν· τότε δὲ τί ἐστιν ἡ τῆς ἐμβολῆς αἰτία;

ἀρχαιρεσιῶν τῇ πρώτῃ τοῦ μηνὸς Δεκεμβρίου ἡμέρᾳ ἐν τῇ Γαμβίᾳ γενομένων, ὁ πρότερος πρόεδρος Jammeh, ὃς τῆς χώρας τὰ τελευταῖα εἴκοσι καὶ δύο ἔτη ἦρξεν, τὴν μὲν ἀρχὴν καταλιπεῖν οὐκ ἐδέξατο καίπερ ἡττηθείς, ἐπειράσατο δὲ τὸν νικήσαντα Barrow (ὃν ἐν τῇ φωτογραφίᾳ ὁρῶμεν) νέον πρόεδρον καταστῆναι, ὃν ἐδέησεν ἐκ τῆς Γαμβίας πρὸς τὴν Σενεγάλην τῆς ἀσφαλείας ἕνεκα ἐκφυγεῖν, ἐκεῖ δὲ ἐν τῇ πρωτευούσῃ Δακὰρ μένει.

οὐκ ἐξὸν εἰς τὴν Βανιοῦλ (τὴν τῆς Γαμβίας πρωτεύουσαν) ἐπανελθεῖν, ἐν τῇ Δακὰρ ὁ Barrow νέος πρόεδρος κατέστη ἐν τέλει ἐν τῇ τῆς Γαμβίας πρεσβείᾳ γενομένῳ, τοῦ τῆς Σενεγάλης προέδρου παρόντος· τούτων δὲ οὕτως ἐχόντων, οἱ τῆς Σενεγάλης στρατιῶται εἰς τὴν Γαμβίαν ἐμβαλόντες (τοῦ ΗΕΟ ὁμολογοῦντος) πειρῶσι τὸν Jammeh ἀναγκάζειν τὴν ἀρχὴν καταλιπεῖν.

ὁ νέος πρόεδρος ἐκέλευσε τὸ τῆς Γαμβίας στράτευμα μὴ τοῖς τῆς Σενεγάλης στρατιώταις μάχεσθαι ἀλλὰ φιλικῶς δέχεσθαι ἅτε ὡς συμμάχους ἀφικομένους.

Ὁ Δ. Τρᾶμπ καὶ ὁ τοῦ Μεξικοῦ πρόεδρος τηλεφωνικῶς διαλέγονται

27 Ἰανουαρίου 2017

Ὁ Ἀμερικανὸς πρόεδρος Δόναλδ Τρᾶμπ καὶ ὁ Μεξικανὸς πρόεδρος Ἐνρίκε Πένια τήμερον τῇ Παρασκευῇ τηλεφωνικῶς μίαν ὥραν διελέξαντο· περὶ τίνος; ὁ μὲν τῆς Λευκῆς Οἰκίας φερέφωνος οὐκ εἶπε περὶ οὗτινος διαλέξαιντο, ὅμως δὲ οὐ χαλεπώτατον εἴη ἂν ἐξευρεῖν τῷ βουλομένῳ τοῦτο γνῶναι.

πάντες ἴσμεν ὅ τι ἐστιν ἡ τῆς ἁμίλλης αἰτία, τῶν γὰρ ἀρχαιρεσιῶν ἐν ταῖς ΗΑΠ γενησομένων ὁ Δ.Τ. εἰς ἀρχὴν παραγγέλλων ὑπέσχετο, εἰ νικήσοι, τεῖχος ἱδρύσειν ἵνα τοῖς Μεξικανοῖς πολίταις μὴ ἐξῇ εἰς τὰς ΗΑΠ παρανόμως εἰσελθεῖν· οὐ μόνον τοῦτο ἀλλὰ καὶ εἶπεν ὁ Δ.Τ. ὅτι αὐτοὶ οἱ τοῦ Μεξικοῦ πολῖται τοῦτο τὸ τεῖχος τείσοιντο, νεωστὶ δέ, ἤδη πρόεδρος γενόμενος, τὸ βούλευμα ὑπέγραψε καθ’ ὃ κελεύει τῆς τοῦ τείχους ἱδρύσεως ἄρχεσθαι.

ἆρα πῶς βούλεται ὁ Δ.Τ. αὐτοὺς ἀναγκάζειν; τί ἐν νῷ ἔχει; τὸ νόημα αὐτοῦ τόδε ἐστίν, τοὺς φόρους τοὺς τῶν Μεξικανῶν ἐμπορευμάτων ἃ εἰς τὰς ΗΑΠ εἰσκομίζεται αὐξάνειν· ὅμως δὲ κατὰ τοὺς ἐμπείρους ἐὰν ὁ Δ.Τ. τοῦτο ποιῇ οἱ Ἀμερικανοὶ ὠνηταὶ τῷ ὄντι τὸ τεῖχος τείσονται, δεήσει γὰρ αὐτοὺς ταῦτα τὰ ἐμπορεύματα τιμιώτερα ὠνεῖσθαι.

Συλλογὴ τῆς Εὐρωπαικῆς Ἑνώσεως ἐν τῇ Μελίτῃ

3 Φεβρουαρίου 2017

Τήμερον οἱ ἄρχοντες οἱ τῶν τῆς Εὐρωπαικῆς Ἑνώσεως χωρῶν ἐν τῇ νήσῳ Μελίτῃ ἀθροίζονται. ἡ ταύτης τῆς συνόδου αἰτία πᾶσι σαφής ἐστιν, οἱ γὰρ τῆς ΕΕ κοινωνοὶ πειρῶσι τοῖς πολίταις ἤδη πολὺν χρόνον τοῦτον τὸν ὀργανισμὸν μεμφομένοις νέον τι παρέχειν· παραδείγματος ἕνεκα ἐπαινέσουσιν ἐν ταύτῃ τῇ συλλογῇ τὰς τῆς Ῥώμης συνθήκας ἃς τῷ 1957ῳ ἔτει ἓξ χῶραι ὑπεγράψαντο, ἤδη μὲν γὰρ τὸ ἑξηκοστὸν ἔτος ἐξ οὗ αὗται αἱ συνθῆκαι ἐποιήθησαν, ἐκεῖνο δὲ ἡ ἀρχὴ ἡ τῆς ΕΕ ἐγένετο.

ἡ ΕΕ βούλεται περὶ ἄλλων τε καὶ τῶν τοῦ νέου Ἀμερικανοῦ προέδρου λόγων διαλέγεσθαι, πολλοὶ γὰρ διαβεβαιοῦνται ὅτι οἱ πρῶτοι τοῦ Δ. Τρᾶμπ πρὸς τὴν ΕΕ λόγοι ἐφορμή τις δοκοῦσιν εἶναι.

ἆρα πάντες παρέσονται ἐν ταύτῃ τῇ συλλογῇ; οὐδαμῶς, τὸ γὰρ Ἡνωμένον Βασίλειον ἀπέσται, αὕτη γὰρ ἡ χώρα ἤδη τοὺς μαρσίπους παρασκευάζεται ὡς τὴν ΕΕ καταλείψουσα· καὶ δὴ καὶ φοβεῖται ἡ ΕΕ μὴ ἄλλαι χῶραι τὸ αὐτὸ ποιεῖν ἐν νῷ ἔχωσι καὶ τὸν ὀργανισμὸν καταλείπωσιν, καθ' ἡμέραν γὰρ πλείονές εἰσιν οἱ νομίζοντες βέλτιον εἶναι ἔξω τῆς ΕΕ ἢ ἔνδον μένειν.

Νέον τεῖχος περὶ τοῦ πύργου Αἴφελ

10 Φεβρουαρίου 2017

Ἡ Γαλλικὴ ἀρχὴ βούλεται τῆς ὀπώρας ὑάλινον τεῖχος περὶ τοῦ πύργου Αἴφελ οἰκοδομεῖν, τοιαύτῃ δὲ ὑάλῳ χρῆσθαι ὥστε ταῖς πυροβολίσιν ἀντέχειν δύνασθαι. τὸ μὲν τεῖχος ἔσται δύο καὶ ἥμισυ μέτρα τὸ ὕψος, τὸ δὲ τίμημα εἴκοσιν ἑκατομμύρια εὐρῶν.

τὸ νῦν κεῖται περὶ τοῦ πύργου μεταλλικὸν τεῖχος ὃ τῷ προσθίῳ θέρει κατέθεσαν τοῦ Εὐρωπαικοῦ Πρωταθλήματος ποδοσφαίρου ἕνεκα ὃ ἐν τῇ Γαλατίᾳ τότε ἐγένετο, κατὰ δὲ τὴν τῆς πόλεως ἄρχουσαν Anne Hidalgo τοῦτο μὲν τὸ τεῖχος δυσειδές ἐστιν, τὸ δὲ νέον ἐάσει τοὺς

πολίτας τὸν πύργον βέλτιον ὁρᾶν. καὶ δὴ καὶ τὸ νέον τεῖχος πολλῷ μακρότερον ἔσται, περιβαλοῦσι γὰρ αὐτὸ οὐ μόνον τῷ πύργῳ αὐτῷ ἀλλὰ καὶ τοῖς τε παραδείσοις καὶ τοῖς δύο λιμέσι τοῖς περὶ τοῦ πύργου κειμένοις.

ἐν τῷ Παρισίῳ μέγιστός ἐστιν ὁ κίνδυνος μὴ ἄλλην τινὰ τρομοκρατικὴν προσβολὴν πάθωσιν, δεῖ δὲ τοιούτους τόπους οἵους τοῦτον τὸν πύργον φυλάττειν.

ὁ πύργος Αἴφελ τῷ 1889ῳ ἔτει ᾠκοδομήθη τῆς Διεθνοῦς Ἐκθέσεως ἕνεκα· λόγῳ μὲν ἔδει μετὰ ταύτην τὴν ἔκθεσιν αὐτὸν διαλύειν (ὃ οὐ πολλοὶ ἴσασιν), ἔργῳ δὲ τῆς ἐκθέσεως τελευτησάσης πᾶσιν ἔδοξε τὸν πύργον ἑστηκότα καταλιπεῖν· τοῦ μὲν χρόνου παρελθόντος σύμβολον τῆς πόλεως ἐγένετο, δέχεται δὲ νῦν κατ᾽ ἐνιαυτὸν ἓξ ἑκατομμύρια περιηγητῶν.

Ἡ ἐπιχείρησις IKEA κακῶς ἀκούει ἐν τῷ Ἰσραῆλ

17 Φεβρουαρίου 2017

Ἡ ἐπιχείρησις IKEA, ἣ διὰ πάσης τῆς οἰκουμένης σκεύη πωλεῖ, κακῶς ἤκουσε νεωστὶ ἐν τῷ Ἰσραῆλ, οὗ τρία καπηλεῖα ἔχει. ἆρα διὰ τί; διότι αὕτη ἡ ἐπιχείρησις νέον κατάλογον διένειμεν. ἀλλὰ τί ἔχων οὗτος ὁ κατάλογος πολλοὺς πολίτας ὤργισεν;

ἐὰν ἐρωτῶμεν ὅ τι ἔχει, τὴν ὀρθὴν ἀπόκρισιν οὐχ εὑρήσομεν, δεῖ γὰρ ἐρωτᾶν ὅ τι ὁ κατάλογος οὐκ ἔχει. τί δὲ οὐκ ἔχει; κόρας τε καὶ γυναῖκας, ἔξεστι γὰρ ἰδεῖν μόνον νεανίας τε καὶ ἄνδρας ἐν ταῖς φωτογραφίαις.

οὐ μὲν πολὺς χρόνος ἐξ οὗ ἄνδρες τινὲς ἐν μικρᾷ κώμῃ οὗ μόνον ὑπερορθόδοξοι οἰκοῦσι τοὺς τῆς IKEA καταλόγους ἐκ τῶν γραμματοκιβωτίων ἐκλαβόντες ἀπέρριψαν ἅτε φωτογραφίας ἔχοντας αἳ γυναῖκάς τε καὶ κόρας ἐδείκνυσαν, ἔδοξε δὲ τότε τοῖς τῆς IKEA ἄρχουσιν, τοῦτο τὸ

τοῦ δήμου μέρος προσάγειν βουλομένοις, νέον κατάλογον ποιεῖν μόνον ἄνδρας δεικνύντα, ὃν ἤδη πάντες “τὸν kosher κατάλογον“ καλοῦσιν· τοῦ δὲ καταλόγου ἐπιφανέντος καὶ πολλῶν κοινωνιῶν αἳ ὑπὲρ τῶν τῆς γυναικὸς δικαίων μάχονται αὐτίκα ἐνισταμένων, ἡ ἐπιχείρησις εἶπεν ἀποκριναμένη ὅτι οὗτος ὁ κατάλογος μόνον διὰ τῶν δήμων οὗ ὑπερορθόδοξοι οἰκοῦσι διενεμήθη.

Ἆρα χρῆται ἡ Βορεία Κορέα τῷ πνεύματι VX;

24 Φεβρουαρίου 2017

Ἤδη ᾔσμεν τί γένοιτο ἐν τῷ ἀερολιμένι τοῦ Κουάλα Λουμποῦρ τῇ 13ῃ Φεβρουαρίου· δύο μὲν γυναῖκες τῷ Kim Jong-nam, ἀδελφῷ τοῦ τῆς Βορείας Κορέας ἄρχοντος, ἐπέθεντο, ὁ δὲ μιᾶς ὥρας ἐξελθούσης ἐξαίφνης ἀπέθανεν. νῦν δὲ ἤδη ἴσμεν ὅπως ἀπέθανεν, νεωστὶ γὰρ ἐξηυρέθη ἡ τοῦ θανάτου αἰτία· οἱ ἰατροὶ τὸ σῶμα ἐξετάσαντες λείψανα ηὗρον τοῦ φαρμακώδους πνεύματος “VX“ καλουμένου ἐν τῷ προσώπῳ καὶ τοῖς ὀφθαλμοῖς (τὸ VX πνεῦμά ἐστιν ὃ τῷ τῶν νευρῶν συστήματι ἐπιτίθεται).

περὶ δὲ τῶν φόνων, οἱ φύλακες, τὰς δύο γυναῖκας συλλαβόντες, ζητοῦσι νῦν τέτταρας τῆς Βορείας Κορέας πολίτας οἳ αὐτὰς ἐμίσθωσαν. ἐν τῇ φωτογραφίᾳ ἔξεστιν ἰδεῖν τὸν Kim Jong-nam ἐν τῷ ἀερολιμένι τοῖς φύλαξι μετὰ τὴν ἐπίθεσιν διαλεγόμενον.

ἴσμεν μὲν οὖν τὸ ὅπλον ᾧ ἐχρήσαντο, τὴν δὲ τοῦ φόνου αἰτίαν οὐκέτι. ὁ Kim Jong-nam ἐγένετο τῷ 1971ῳ ἔτει· πρῶτον μὲν πάντες ἐνόμιζον τοῦτον τὸν νεανίαν ἔσεσθαι τὸν διάδοχον τοῦ αὐτοκράτορος Kim Jong-il, ἀλλὰ δόξαν αὐτῷ τὴν Βορείαν Κορέαν καταλιπεῖν ἐν τῇ Σίνῃ πολλὰ ἔτη ᾤκει· καὶ δὴ καὶ τῷ 2012ῳ ἔτει καρτερῶς τὴν τῆς Βορείας Κορέας ἀρχὴν ἔψεξεν, διὰ δὲ τοῦτο οἱ τῆς Νοτίας Κορέας ἄρχοντες ἐκ τῆς ἀρχῆς διεβεβαιώσαντο ὅτι ὁ τῆς Βορείας Κορέας ἄρχων τούτου τοῦ φόνου αἴτιός εἴη.

Αὖθις ἀναγκαία στρατεία τοῖς Σουηδικοῖς νεανίαις

3 Μαρτίου 2017

Ὁ τῆς Σουηδικῆς ἀρχῆς φερέφωνος ἤγγειλε χθὲς ὅτι ἡ Σουηδία ἀποκαταστήσοι τὴν ἀναγκαίαν στρατείαν τοῖς νεανίαις, τοῦτο δὲ οὐ διὰ πολλοῦ γενήσεται, βούλονται γὰρ τοῦτο ἤδη τῷ ἐπιγιγνομένῳ θέρει ποιεῖν. ὁ τῆς ἀμύνης ὑπουργὸς Peter Hultqvist εἶπεν ὅτι δεήσοι πολλοὺς νεανίας μετὰ τὸ 1999ον ἔτος γενομένους ἕνδεκα μῆνας στρατεύειν· πολλοὺς μέντοι νεανίας, οὐ πάντας, μόνον γὰρ τὸ ἥμισυ τῶν νεανιῶν ἀληθῶς αἱρήσονται.

καίπερ τούτου τοῦ νέου νόμου οὐκέτι ἐν τῇ βουλῇ ψηφισθέντος, πάντες ἴσασιν ὅτι οἵ τε ἐν τῇ ἀρχῇ καὶ τὰ ἄλλα κόμματα ἤδη περὶ τούτου ὡμολογήκασιν.

ἡ Σουηδία, ἣ τὰς δύο τελευταίας ἑκατονταετίας οὐδένα πόλεμον ἔνδον τῆς χώρας πέπονθεν, τὴν μὲν ἀναγκαίαν στρατείαν τῷ 2010ῳ ἔτει ἀνεῖλεν (κατετεθήκει δὲ τὸ πρῶτον τῷ 1901ῳ ἔτει), ἐκ δὲ τούτου οὐ ῥᾴδιόν ἐστι τοῖς ἐν ἀρχῇ ἱκανοὺς νεανίας πεῖσαι στρατεύειν ὁπόταν δέῃ αὐτοὺς τὴν τοῦ στρατεύματος δύναμιν αὐξάνειν.

πάντων θαυμαζόντων διὰ ὅ τι βούλοιτο νῦν ἡ Σουηδία τοῦτο ποιεῖν, ὁ P.H. σαφῶς τε καὶ εὐθὺς ἀπεκρίνατο· αὕτη ἡ χώρα βούλεται νῦν τὴν τοῦ ἀμύνεσθαι δύναμιν διορθοῦν διότι ἡ Ῥωσσία μάλιστα τὴν ἑαυτῆς ἐπιθέσεως δύναμιν ηὔξηκεν. ἡ Σουηδία κοινὸν μὲν ὅρον τῇ Ῥωσσίᾳ οὐκ ἔχει (ἡ Φινλανδία 1,340 χιλιόμετρα κοινοῦ τῇ Ῥωσσίᾳ ὅρου ἔχει), ὅμως δὲ τῇ τοῦ Ῥωσσικοῦ στρατεύματος αὐξήσει τὸν νοῦν ἐπιμελῶς προσέχει.

Μεγίστη θύελλα τὴν “Θαλασσοειδῆ Θυρίδα“ διαφθείρει

10 Μαρτίου 2017

Ἡ ἐνδοξοτάτη πετρίνη μόρφωσις ἣν πάντες ὠνόμαζον “Θαλασσοειδῆ Θυρίδα“ διεφθάρη προχθὲς τῇ Τετάρτῃ μεγίστῃ θυέλλῃ. δυνάμεθα ταύτην τὴν ἤδη ἀφανισθεῖσαν γεωλογικὴν μόρφωσιν ἐν τῇ φωτογραφίᾳ ἰδεῖν.

αὕτη ἡ πετρίνη καμάρα ἐν τῇ Μάλτῃ ἔκειτο, ἐν τῇ δευτέρᾳ νήσῳ (ἡ Μάλτα δύο νήσους ἔχει· τὴν μὲν πρώτην, μείζονα οὖσαν, οὗ ἡ πρωτεύουσα Βαλέτα κεῖται, τὴν δὲ δευτέραν, μείονα οὖσαν), Γόζῳ καλουμένῃ, καλλίστη μόρφωσις ἣν πάντες οἱ περιηγηταὶ οἵτινες εἰς τὴν Μάλταν ἀφίκοιντο ἐβούλοντο ἰδεῖν· οὐκέτι δὴ δυνατὸν ἔσται. τοῦτο τὸ θαῦμα διὰ πολλῶν ἑκατονταετιῶν ἐγίγνετο, τῶν κυμάτων συνεχῶς τὴν πέτραν κοπτουσῶν (τὸ αὐτὸ ὃ νῦν τὴν μόρφωσιν διέφθειρεν).

ὁ τῆς χώρας πρωθυπουργός, Ἰωσὴφ Μοῦσκατ, εἶπε χθὲς ὅτι, φοβούμενοι μή ποτε αὕτη ἡ καμάρα καταπέσοι, οἱ ἔμπειροι ἤδη ταύτην τὴν μόρφωσιν ἐξετέσαιεν, ἀπεκρίναντο δὲ ὅτι οὐκ ἐξέσοιτο τὸ κατάπτωμα κωλύειν, τὰ γὰρ κύματα τὴν καμάραν συνεχῶς κόπτουσιν. “ἡ δὲ περίλυπος ἡμέρα ἤδη ἀφίκετο,“ εἶπεν. κατὰ τὸν τῆς νήσου ἄρχοντα, τὸν Ἀντὸν Ῥέφαλον, οἱ νησῖται οὕτως διάκεινται ὡσεὶ μέρος τι ἑαυτῶν ἀποβάλοιεν.

οὕτω καλὸς ἦν ὁ τόπος ὥστε πολλὰ κινηματογραφικὰ ἔργα ἐκεῖ ἐποιήθησαν.

Δεῖ τοῦτο ἆθλον ἢ ζημίαν ποιεῖσθαι;

29 Μαρτίου 2017

Σουηδικὴ σύστασις πανδοκείων, ἡ σύστασις Countryside Hotels, ἤγγειλε νεωστὶ ὅτι τὰ χρήματα ἀποδώσει τοῖς νεωστὶ συζύγοις ἐὰν ἑνὸς ἔτους ἐξ οὗ ἐν πανδοκείῳ τινὶ ταύτης τῆς συστάσεως κατῴκησαν διαζευγνύωνται. ἡ τῆς συστάσεως φερέφωνος, Anna Madsen, εἶπεν ὅτι ταύτῃ τῇ προσφορᾷ βούλοιντο τοὺς συζύγους ἐποτρύνειν μὴ διαζεύγνυσθαι. τὸ πανδοκεῖον τὰ χρήματα ἀποδώσει ἐφ᾽ ᾧτε τοὺς νεογάμους κατὰ τοὺς νόμους συζύγους εἶναι καὶ ἄμφω ἐν τῷ αὐτῷ τοῦ πανδοκείου κοιτῶνι ἅμα κατοικῆσαι καὶ ἑνὸς ἔτους διαζεύγνυσθαι. εἶπε δὲ ἡ φερέφωνος ὅτι τῷ μὲν 2014ῳ ἔτει ἐν τῇ Σουηδίᾳ 47,000 γάμοι καὶ 24,000 γάμου διαλύσεις γένοιντο, μᾶλλον ἧττον τὸ ἥμισυ, κατὰ δὲ αὐτὴν δέοι τι ποιεῖν ὅπως κωλύοιμεν τοσούτους γάμους διαλύεσθαι.

ὅμως δὲ πολλοὶ ταύτην τὴν προσφορὰν ἀναγνόντες τε καὶ θαυμάζοντες μέμφονται καὶ νομίζουσι τοῦτο ἁμάρτημα εἶναι, γνώμῃ μὲν γὰρ τοιᾷδε ἡ πανδοκείων σύστασις τοῦτο προσέθηκεν, ἵνα οἱ νεόγαμοι μὴ διαζευγνύοιντο, τῷ δὲ ὄντι οὐδένα λανθάνει τοῦτο τὸ ἄγγελμα τὸ ἐναντίον δεξόμενον ἅτε πολλοὺς διαζεύγνυσθαι ἐποτρυνοῦν, εἰ γὰρ οἱ νεόγαμοι τὸν γάμον διαλύωσι χρήματα δέξονται. ἴσως οἱ ταύτης τῆς συστάσεως ἄρχοντες, τοῦτο ἐννοοῦντες, νομίζουσι τὸ χρήματα δέχεσθαι ζημίαν εἶναι; ἴσως πολλοὶ νομιοῦσι τοῦτο ἆθλον εἶναι.

Ἐν τῇ φωτογραφίᾳ ἔξεστι τὸ Dömle Herrgård ἰδεῖν, πανδιοκεῖόν τι ταύτης τῆς συστάσεως.

Τρομοκρατικὴ προσβολὴ ἐν τῇ Ἁγίᾳ Πετρουπόλει

4 Ἀπριλίου 2017



Τρομοκρατικὴ προσβολὴ ἐγένετο χθὲς ἐν τῇ Ἁγίᾳ Πετρουπόλει. ἄνθρωπός τις εἰς τὸν ὑπόγειον σιδηρόδρομον εἰσβὰς βόμβαν κατέθηκεν· τῆς ἐκρήξεως γενομένης, τῷ τοῦ σιδηροδρόμου κυβερνήτῃ, αἰσθομένῳ ὅ τι γένοιτο, ἔδοξε τὸν σιδηρόδρομον μὴ παύειν (ἐπορεύετο πρὸς τὸν σταθμὸν "Τεχνολογικὸν Διδασκαλεῖον" καλούμενον, ὃν ἐν τῇ φωτογραφίᾳ ἔξεστιν ἰδεῖν) καὶ εἰς τὸν ἐπιγιγνόμενον σταθμὸν ἀφίκεσθαι, ὃ μάλιστα πᾶσι ὠφέλησεν, πολλῷ γὰρ ῥᾷον ἐγένετο τοῖς τε επιβάταις ἐξιέναι καὶ τοῖς ἰατροῖς ταχέως ἀφικομένοις ὠφελεῖν. ἕνδεκα μὲν ἄνθρωποι ἀπέθανον, πολλοὶ δὲ ἄλλοι ἐτρώθησαν. κατὰ τοὺς μάρτυρας, ὁ σιδηρόδρομος μεστὸς ἦν, τοσοῦτοι γὰρ ἐπιβάται ἐνῆσαν ὥστε πολλοὶ εἱστήκεσαν κενῶν καθεδρῶν οὐκέτι ὑπαρχουσῶν. οἱ φύλακες δευτέραν μὲν βόμβαν ηὗρον ἄλλοθι, ἐν ἄλλῳ σταθμῷ, "Βοσστανίᾳ Ἀγορᾷ" καλουμένῳ, τύχῃ δὲ ἐδυνήθησαν αὐτὴν διαλύειν πρὶν ἐκρήγνυσθαι· εὐδαιμόνως δή, αὕτη γὰρ ἡ δευτέρα βόμβα πολλῷ ἰσχυροτέρα ἦν τῆς πρώτης.

ὅτε τοῦτο ἐγένετο, ὁ τῆς Ῥωσσίας πρόεδρος Βλαδίμιρ Ποῦτιν ἐν τῇ αὐτῇ πόλει ἦν, ἐν ᾗ πέντε ἑκατομμύρια ἄνθρωποι οἰκοῦσιν. δέον τὸ τῶν σιδηροδρόμων δίκτυον παντελῶς κατακλείειν, ἡ ἐπιβολὴ τὴν πόλιν ἔπαυσεν, οἱ γὰρ ἄρχοντες οὐκ εἴασαν τῷ ὑπογείῳ σιδηροδρόμῳ χρῆσθαι πρὶν τὴν νύκτα γένεσθαι.

Ὁ Ὄρβαν βούλεται πανεπιστήμιον κατακλεῖσαι

11 Ἀπριλίου 2017

Ὁ τῆς Οὐγγαρίας πρωθυπουργὸς Ὄρβαν ἐν νῷ ἔχει πανεπιστήμιόν τι κατακλεῖσαι. τάδε ἐστὶ τὰ γενόμενα·

τῆς κοινωνιστικῆς δικτατωρείας καταπεσούσης, τῷ 1991ῳ ἔτει ὁ Γ. Σώρος, Ἀμερικανὸς μὲν πολίτης, ἐν δὲ τῇ Οὐγγαρίᾳ γενόμενος (εἰς τὰς ΗΑΠ ἀπῆλθε νεανίας ὤν, οὗ πλουσιώτατος ἐγένετο) χρήματα πολλὰ ἔδωκεν ἵνα νέον πανεπιστήμιον κτίζοι. τὸ μὲν τούτου τοῦ νέου πανεπιστημίου ὄνομα "Πανεπιστήμιον Κεντρικῆς Εὐρώπης" ἐστίν (CEU τὸ ἀκρώνυμον ἀγγλιστί), ταχέως δὲ ἄριστόν τε ἐγένετο καὶ εὔδοξος περὶ πάσης τῆς οἰκουμένης.

νῦν δὲ ἡ τῆς Οὐγγαρίας ἀρχὴ βούλεται νόμον καταθεῖναι καθ' ὃν χαλεπώτατον γένοιτο ἂν τούτῳ τῷ πανεπιστημίῳ διαμένειν (τῷ ὄντι τὸ αὐτὸ εἴη ἂν ἢ τὸ πανεπιστήμιον κατακλεῖσαι). ἡ δὲ αἰτία σαφής ἐστίν, οὐδένα γὰρ λανθάνουσι ὁ Γ. Σώρος πολλάκις τὸν πρωθυπουργὸν Ὄρβαν μεμφόμενος καὶ ὁ Ὄρβαν ταύτας τάς μέμψεις οὐκ εὖ δεχόμενος.

τῇ Κυριακῇ διαδήλωσις μεγίστη (ἣν ἐν τῇ φωτογραφίᾳ δυνάμεθα ἰδεῖν) ἐγένετο ἐν τῇ πρωτευούσῃ Βουδαπέστῃ, ἐν ᾗ μυρίοι πολῖται τούτῳ τῷ νόμῳ ἀντέστησαν, καὶ δὴ καὶ πολλοί τε διδάσκαλοι ἄλλων περὶ πάσης τῆς οἰκουμένης πανεπιστημίων καὶ ἡ Εὐρωπαικὴ Ἕνωσις αὐτὴ τὸν νόμον ἔψεξαν.

Οὐκέτι πλέον καρτερίας

18 Ἀπριλίου 2017

Ὁ Μάικ Πένς (ἐν τῇ φωτογραφίᾳ), ὁ τῶν ΗΑΠ ἀντιπρόεδρος, εἶπε χθὲς ἐν τῇ πόλει Σεοῦλ, τῇ τῆς Νοτίας Κορέας πρωτευούσῃ, ὅτι ἡ καρτερία ἤδη τετελεύτηκεν, εἶπε δὲ ὅτι καίπερ τῆς τῶν ΗΑΠ ἀρχῆς τὴν ἐν ἐπικινδυνοτάτῃ χώρᾳ εἰρήνην διὰ τοῦ διαλόγου κτᾶσθαι πειρωμένης ἐξείη ἄλλαις μεθόδοις χρῆσθαι.

ὁ Πὲνς δέκα ἡμέρας ἐν τῇ Ἀσίᾳ μενεῖ, μετὰ γὰρ τὴν περὶ τῆς Νοτίας Κορέας ἐφοδείαν πρὸς τὴν Ἰαπωνίαν πορευθήσεται.

τὸ στρατήγημα ᾧ ὁ Ὀβάμα χρῆσθαι ἐπειράσατο, οἰκονομικαῖς κολάσεσι τὴν Βόρειαν Κορέαν κολάζειν ἵνα τὸ πυρηνικὸν πρόγραμμα καταλείποι, οὐδαμῶς καλῶς ἀπέβη, ἡ μὲν γὰρ δικτατωρεία μάλιστα καρτεροῦσα τυγχάνει (μόνον οἱ πολῖται τὰς κολάσεις πάσχουσιν, ὃ καὶ ἐν τῇ Συρίᾳ γίγνεται), τὸ δὲ τῆς Β.Κ. στράτευμα ἔτι πλείονα πυραυλὰ ἀνῆκεν. νῦν δὲ τὸ Ἀμερικανὸν ναυτικόν, πυρηνικὸν ἀεροσκαφοφόρον ἔχον, τῷ τόπῳ προσχωρεῖ οὗ ἡ Βόρεια Κορέα ἐν νῷ ἔχει τὴν ἑκτὴν πυρηνικὴν πειρὰν ποιεῖν.

ὁ τῆς Κορέας πόλεμος (1950-53) ἐτελεύτησε σπονδαῖς καθ’ ἃς ὁ παράλληλος 38 στάθμην δείκνυσι τέτταρα χιλιομέτρα τὸ εὖρος (δύο μὲν εἰς τὴν ΝΚ, δύο δὲ εἰς τὴν ΒΚ) εἰς ἣν οὐκ ἔξεστιν οὔτε τῇ Βορείᾳ Κορέᾳ οὔτε τῇ Νοτίᾳ Κορέᾳ ὅπλα εἰσάγειν.

Πλείονα περὶ τῆς Βορείας Κορέας

24 Ἀπριλίου 2017

Πλείονα περὶ τῆς Βορείας Κορέας νεωστὶ ἐγένετο, νῦν γὰρ ἡ ταύτης τῆς χώρας ἀρχὴ διδάσκαλον τοῦ Πανεπιστημίου τῆς Ἐπιστήμης καὶ τῆς Τεχνολογίας κατέσχεν. οὗτος ὁ διδάσκαλος, πεντήκοντα ἔτη γεγονώς, διπλῆν πολιτείαν ἔχει, τήν τε Ἀμερικανὴν καὶ τὴν τῆς Νοτίας Κορέας (δυοῖν χωραῖν αἵ, ὡς ἔπος διπλωματικῶς εἰπεῖν, οὐ τυγχάνουσι φιλαίταται οὖσαι τῇ Βορείᾳ Κορέᾳ), μόνον δὲ πέντε ἑβδομάδας ἐν τούτῳ τῷ πανεπιστημίῳ ἐδίδαξεν, ἐν ᾧ πολλοὶ ξένοι διδάσκαλοι ὑπὸ τῆς Βορειοκορεάνης ἀρχῆς μισθωθέντες ἐργάζονται· ἐν δὲ τῷ ἀερολιμένι αὐτῷ εἰς τὴν Κίναν πορευθήσεσθαι μέλλων κατελήφθη.

οὗτός ἐστιν ὁ τρίτος Ἀμερικανὸς πολίτης ὃν τοῖς τελευταίοις μησὶν οἱ τῆς Β. Κορέας φύλακες

καταλαμβάνουσιν, οὐδένα δὲ λανθάνει ἡ ἀρχὴ τοῦτο ποιοῦσα ἵνα τὴν Ἀμερικανὴν ἀρχὴν πρὸς αὐτοὺς λόγους ποιεῖσθαι ἀναγκάζῃ, αἱ μὲν γὰρ δύο χῶραι διπλωματικὴν κοινωνίαν οὐκ ἔχουσιν, ὁπόταν δὲ ἡ Β. Κορέα τὴν τῶν ΗΑΠ ἀρχὴν πιέζειν βούληται τοῦτο ποιεῖ.

καὶ δὴ καὶ ἡ τῆς Β.Κορέας ἀρχὴ ταῖς ΗΑΠ ἠπείλησε τὸ πυρηνικὸν ἀεροσκαφοφόρον Carl Vinson καταδύσειν ἐὰν τῇ παραλίᾳ προσπλεύσῃ· ὅμως δὲ ἴσως πρὸς τὰς ΗΑΠ μάχεσθαι οὐχ ἱκανόν ἐστι τῷ Kim Jong-un, οὗτος γὰρ καὶ τῇ Αὐστραλίᾳ ἀπειλεῖ νῦν πυρηνικὴν προσβολὴν ἐφιέναι ἐὰν αὕτη ἡ χώρα τῇ Ἀμερικανῇ πολιτικῇ πράξει ἑπομένη μὴ παύηται.

τῶν ἀπειλῶν ἄνω καὶ κάτω πορευομένων, οἱ ἔμπειροι διστάζουσι πότερον ἡ Β. Κορέα τεχνικὴν δύναμιν ἱκανὴν ἔχει ὥστε πυρηνικὰ πύραυλα ἀνιέναι.

Ὁ Τρᾶμπ τὸν τῶν Φιλιππίνων πρόεδρον παρακαλεῖ

1 Μαίου 2017

Ὁ Ἀμερικανὸς πρόεδρος Τρᾶμπ παρεκάλεσε τὸν τῶν Φιλιππινῶν πρόεδρον Δουτέρτε (ἐν τῇ φωτογραφίᾳ) εἰς τὴν Λευκὴν Οἰκίαν, τοῦτο δὲ τὸ ἄγγελμα κακῶς ἐδέξαντο οἱ τῆς ἑταιρείας ὑπὲρ τῶν ἀνθρωπίνων δικαιωμάτων ἐργαζομένης κοινωνοί, περὶ γὰρ πάσης τῆς οἰκουμένης μέμφονται ὅ τι ἐν τοῖς Φιλιππίνεσιν γίγνεται· ἐπεὶ μὲν τάχιστα ὁ Δουτέρτε εἰς τὴν ἀρχὴν ἀφίκετο, τὸν πόλεμον ἐπήγγειλε τοῖς φαρμάκων ἐμπόροις τε καὶ καπήλοις, τοῦτον δὲ τὸν πόλεμον πολεμῶν τὰ ἀνθρώπινα δικαιώματα πολλάκις οὐ φυλάττει, λέγεται δὲ ὅτι τούτῳ τῷ πολέμῳ ὡς προφάσει χρῆται ὅπως πολιτικοὺς ἐχθροὺς ἀφαιρῇ. ὅμως δὲ λέγουσιν ἄλλοι ὅτι ἐξ οὗ ὁ Δουτέρτε οὕτως πράττει τὸ τῶν φαρμάκων πρόβλημα ἠλάττεται καὶ ὅτι, δέον τοῦτο τὸ πρόβλημα βίᾳ παύειν, τὸ περὶ τῶν ἀνθρωπίνων δικαιωμάτων “ἀγαγκαῖον κακόν“ ἐστιν.

τοῖς ἐρωτῶσι διὰ ὅ τι τὸν τῶν Φιλιππινῶν πρόεδρον παρακαλέσειεν ἀπεκρίνατο ὁ Τρᾶμπ ὅτι τὸ αὐτῷ συμπράττειν ἀναγκαιότατον εἴη τῆς ἀπειλῆς τῆς Βορείας Κορέας ἕνεκα, τοῦ μεγίστου

κινδύνου κατὰ τὸν Τρᾶμπ ἐν ἐκείνῳ τῆς οἰκουμένης μέρει, προσέθηκε δὲ ὅτι τῷ μὲν Σαββάτῳ οἱ δύο πρόεδροι φιλικῶς διὰ τοῦ τηλεφώνου διελέχθησαν, ἔπειτα δὲ ο Τρᾶμπ τὸν τῶν Φιλιππινῶν πρόεδρον παρεκάλεσεν.

ὁ τοῦ τῶν Ἡνωμένων Ἐθνῶν Ὀργανισμοῦ τοῖς Ἀνθρωπίνοις Δικαιώμασι φερέφωνος Zeid Raad al Hussein ἐλπίζει τὸν Τρᾶμπ τῷ τῶν Φιλιππινῶν προέδρῳ τὰ ἐγκλήματα παραγγελεῖν τούτου τοῦ ὀργανισμοῦ περὶ τῆς πρὸς ταῦτα τὰ δικαιώματα ὕβρεως.

πρὸς δὲ τούτῳ ὁ Τρᾶμπ παρεκάλεσε καὶ τὸν τῆς Ταιλανδίας πρωθυπουργὸν τῆς αὐτῆς αἰτίας ἕνεκα, ὁ γὰρ Ἀμερικανὸς πρόεδρος πειρᾶται συμμαχίας ποιεῖσθαι ταύταις ταῖς χώραις αἳ ἐγγὺς τῆς Βορείας Κορέας κεῖντα.

Ὁ Τρᾶμπ τὴν τῆς Λευκῆς Οἰκίας ταμίαν ἐκβάλλει

8 Μαίου 2017

Ἡ τοῦ τῶν ΗΑΠ προέδρου φερέφωνος ἤγγειλε τήμερον ὅτι ἡ Angela Reid, ἡ πρώτη Ἀφροαμερικανὴ γυνὴ ἣ κεφαλαία τῆς Λευκῆς Οἰκίας ταμία ἐγένετο, ταύτην τὴν τάξιν οὐκέτι ἔχοι, τοῦτο δὲ τὸ ἀπροσδόκητον ἄγγελμα ἔριν γεγέννηκε διότι ὡς ἐπὶ τὸ πολὺ ἡ κεφαλαία τῆς Λευκῆς Οἰκίας ταμία (ἢ ὁ κεφαλαῖος ταμίας) ἀεὶ ἐν τῇ τάξει μένει καίπερ τοῦ προέδρου μεταβληθέντος καὶ δὴ καὶ πλεῖστα ἔτη μένει (παραδείγματος ἕνεκα, ἐκ τῆς ἀρχῆς τῆς 20ῆς ἑκατονταετίας ἡ Λευκὴ Οἰκία μόνον ἐννέα κεφαλαίους ταμίας ἔσχηκεν, αὕτη δὲ ἡ γυνὴ κεφαλαία ταμία τῷ 2011 ἐγένετο, τοῦ Ὀβάμα προέδρου ὄντος). τούτων οὕτως ἐχόντων, πολλοὶ θαυμάζουσι διὰ ὅ τι μόνον ἓξ ἔτη ἐν ταύτῃ τῇ τάξει ἔμεινεν.

ἡ ἐφημερὶς The Washington Post εἶπεν ὅτι ἡ Reid (ἣν ἐν τῇ φωτογραφίᾳ ἰδεῖν δυνάμεθα) τὴν μὲν τάξιν οὐχ ἑκοῦσα καταλίποι, ἐκβληθείη δέ· κατὰ δὲ ταύτην τὴν ἐφημερίδα, τοῖς ἄλλοις ἐργασταῖς πρωὶ ἀφικομένοις ἡ μὲν φερέφωνος τοῦτο τὸ ἄγγελμα ἤγγειλεν, ἡ δὲ Angela αὐτὴ

τοῖς περὶ τὴν τῆς ἀπροσδοκήτου μεταβολῆς αἰτίαν ἐρωτομένοις δημοσιογράφοις οὐδὲν μὲν εἰπεῖν ἐβούλετο, ἀπεκρίνατο δὲ μόνον ὅτι βέλτιον εἴη ἂν εἰ τοῦτο ἡ Λευκῆ Οἰκία αὐτὴ ἐξηγοῖτο.

κατὰ δὲ τὴν Sanders (τὴν φερέφωνον) τοῦτο ἀεὶ γίγνεται, διαβεβαιοῦται γὰρ ὅτι ἐπειδὰν νέος πρόεδρος ἥκῃ μεταβάλλονται καὶ πολλοὶ τῶν τῆς Λευκῆς Οἰκίας ἐργαστῶν. ὁ κεφαλαῖος ταμίας πάντα μὲν ἃ ἐν τῇ Λευκῇ Οἰκίᾳ γίγνεται ἐπιστατεῖ, πάντα δὲ καὶ πάντας συναρμόττει· τούς τε ὀψοποιοὺς καὶ τοὺς ἠλεκτρολόγους καὶ τοὺς διακόνους καὶ τοὺς κηπουρούς…

Κυβερνητικὴ ἐπιβολή

14 Μαίου 2017

Τῇ Παρασκευῇ πολλοὶ ὑπολογισταὶ διὰ πάσης τῆς οἰκουμένης κυβερνητικὴν ἐπιβολὴν ἔπαθον ἣ μεγάλην ταραχὴν ἐποίησεν.

ἤδη ἴσμεν ὅ τι "κυβερνητικὴ ἐπιβολή" ἐστιν· τῷ συστήματι τῷ τῶν ὑπολογιστῶν ἐπιθέσθαι, ὃ ὡς ἐπὶ τὸ πολὺ "κυβερνητικὸν πόλεμον" καλοῦμεν. ἆρα τί ἐγένετο τῇ Παρασκευῇ; ἄνθρωπός τις (ὃν ἤδη πάντες ζητοῦσιν) κακὸν ἰὸν ἔπεμψεν ὃς ταχέως διὰ πολλῶν ὑπολογιστῶν ἕρψας πάντας εἰς οὓς εἰσῆλθεν ἐλοιδορεύσατο, οὗτος ὁ ἰὸς πάντα τὰ ἐν τῷ ὑπολογιστῇ ἐνόντα κρύψας ἄγγελμα δείκνυσιν ἐν ᾧ ἀναγιγνώσκομεν ὅτι δεήσει σε χρήματα τίνειν (συστήματί τινι χρώμενον διὰ οὗ οὐκ ἔξεσται τὸν κακουργοῦντα εὑρεῖν) ἐὰν βούλῃ αὖθις τὰ ἐνόντα ἰδεῖν.

τοῦτο ἤδη πολλάκις ἐγένετο, ἀλλὰ αὕτη ἡ ἐπιβολὴ τοσαύτη τε καὶ τοιαύτη ἐγένετο ὅσην τε καὶ οἷαν οἱ ἔμπειροι οὐδέποτε ἑοράκεσαν, καὶ δὴ καὶ οὗτος ὁ ἰὸς οὐ μόνον πολλοὺς ἰδιωτικῶν πολιτῶν ὑπολογιστὰς ἔβλαψεν ἀλλὰ καὶ τὰ συστήματα πολλῶν νοσοκομείων, ὃ κάκιστόν ἐστιν.

τῶν ἐμπείρων ταύτην τὴν ἐπιβολὴν παύειν πειρωμένων οὐδὲ δυναμένων, Βρεταννικὸς νεανίας ὃς οὐδέποτε μὲν ἐν πανεπιστημίῳ τινὶ ἔμαθεν, τυγχάνει δὲ περὶ ὑπολογιστῶν ἐμπειρότατος ὤν, τοῦτο παῦσαι ἐδυνήθη, ηὗρεν μὲν γὰρ μικρὸν ἁμάρτημα ἐν τῷ τοῦ ἰοῦ συστήματι, τούτῳ δὲ τῷ ἁμαρτήματι χρώμενος τὴν ἐπιβολὴν ἔπαυσεν. ὅμως δὲ ἀπήγγειλεν ὅτι ἴσως αὔριον τῇ Δευτέρᾳ ὁ ἰὸς αὖθις ἐπιθήσοιτο, ὁ μὲν γὰρ ἰὸς εἰς πολλοὺς ὑπολογιστὰς ἀφίκετο οἵ, τῶν ἐργαστῶν ἤδη τὸ ἐργαστήριον τῇ Παρασκευῇ καταλιπόντων, ἤδη κεκλεισμένοι ἦσαν, ἐκεῖ δὲ μένει ἕως ἂν ὅστις τούτῳ τῷ ὑπολογιστῇ ἐργάζεται αὖθις χρῆσθαι πειρᾷ.

Διαδήλωσις ἐν τῷ Παρίσι… ὑπὲρ τῶν ἰχθύων

21 Μαίου 2017

Χθὲς τῷ Σαββάτῳ, τῇ “Εὐρωπαίῃ τῆς Θαλάττης Ἡμέρᾳ“, διαδήλωσις ἐγένετο ἐν τῇ τῆς Γαλλίας πρωτευούσῃ, οὐ μὴν ὑπὲρ τῶν παίδων οἳ ἐν τοῖς πολέμοις ἀποθνῄσκουσιν ἢ ὑπὲρ τῆς δημοκρατίας… ἀλλὰ ὑπὲρ τῶν ἰχθύων.

οἱ διαδηλοῦντες, τοὺς ἰχθῦς μιμεῖσθαι βουλόμενοι, τὸ σῶμα θαλαττίῳ χρώματι ἐπιχρισάμενοι καὶ δίκτυα περιβαλόμενοι, χαμαὶ ἔκειντο (οὕτως ὡς δυνάμεθα ἐν τῇ φωτογραφίᾳ ἰδεῖν), ἐβούλοντο γὰρ ἐπιδεῖξαι ὅτι οὐ μόνον τὰ ζῷα θηρευόμενα ἀλλὰ καὶ οἱ ἰχθύες ἁλιευόμενοι μάλιστα πάσχουσιν. κατὰ τὴν Ἀλεξάνδρα Βλᾶγκ, ἡ τῆς ἑταιρείας Vegan Impact πρόεδρος, πάντες οἱ ὑπὲρ τῶν τῶν ζῴων δικαίων μαχόμενοι ἀεὶ τῶν ἰχθύων ἐπιλανθάνονται, εἶπε δὲ καὶ ὅτι οἱ μὲν χορτοφάγοι, κρέας ἐσθίειν οὐ βουλόμενοι, “εἰς τοὺς ἰχθῦς φεύγοιεν“, τοῦτο δὲ τὸ αὐτὸ εἴη.

τῆς διαδηλώσεως τελευτησάσης, ἡ Α. Β. ἄγγελμα τοῖς τε παροῦσι καὶ τοῖς δημοσιογράφοις ἀνέγνω καθ’ ὃ οἱ μὲν Γάλλοι ἄγαν ἰχθύος ἐσθίουσιν, ἕκαστος ἄθρωπος τριάκοντα πέντε χιλιόγραμμα κατ’ ἐνιαυτόν (τοῦτο δὲ τὸ αὐτό ἐστι καὶ ἑκατὸν γραμμάρια καθ’ ἡμέραν), πολλοὶ

δὲ ἔμπειροι ἤδη εἶπον ὅτι τῷ μὲν 2050ῷ ἔτει οἱ ὠκεανοὶ ἴσως κενοὶ ἰχθύων κείσοιντο, δέοι δὲ τούτῳ τέλος ἐπιθεῖναι, οἱ γὰρ ὠκεανοὶ οὐχ οἷοί τ᾽ εἴεν τοῖς ἀνθρώποις τοσαῦτα ὅσων δεόμεθα παρέχειν.

Ὑπολογιστικὸν δυστύχημα ἐν τῇ British Airways

28 Μαίου 2017

Τῷ Σαββάτῳ ἡ ἑταιρεία British Airways δυστυχίαν ἔπαθε δι᾽ ἣν οὐκ ἐξῆν τῷ ὑπολογιστικῷ συστήματι χρῆσθαι. πρῶτον μὲν ἡ δυσχέρεια μικρὰ ἦν· ἔνιαι μὲν πτήσεις ὑστέρουν, ἔνια δὲ σκεύη οὐκ ἦν ἐν τῷ αὐτῷ ἀεροκάφει καὶ οἱ ἐπιβάται, κτλ. ἔπειτα δὲ τὸ πρόβλημα τοσοῦτο ηὔξησεν ὥστε ἐδέησε πάσας τὰς πτήσεις ἀκυροῦν αἳ εἴτε ἀπὸ τοῦ Λονδίνου εἴτε πρὸς τὸ Λονδίνον πτήσεσθαι μέλλοιεν.

ἡ ἑταιρεία, ἰδοῦσα τὴν δυστυχίαν πολὺν χρόνον μενεῖν μέλλουσαν, ἀγγέλματα μὲν τοῖς πορευσομένοις ἔπεμψε δι᾽ ὧν ᾔτησεν αὐτοὺς εἰς τοὺς ἀερολιμένας μὴ ἐλθεῖν, τοῦτο γὰρ μείζω ταραχὴν ποιήσοι, ὑπισχνεῖτο δὲ τὰ χρήματα ἀποδώσειν οἷστισιν οὐκ ἐξείη πορεύεσθαι.

τήμερον τῇ Κυριακῇ, τοῦ προβλήματος ἔτι καὶ νῦν διαμένοντος, ἤδη ἐξῆν ἐνίοις ἐπιβάταις πορεύεσθαι, παραδείγματος ἕνεκα αἱ πτήσεις ἀπὸ τοῦ Λονδίνου εἰς τὴν Ῥώμην καὶ εἰς τὴν Μασσαλίαν κατὰ καιρὸν ἤρξαντο. ὅμως δὲ αἱ πλεῖσται πτήσεις ἔτι τήμερον ἠκυρώθησαν. κατὰ τὸν τῆς ἑταιρείας φερέφωνον, καίπερ τοῦ συστήματος ἤδη ἐργάζεσθαι ἀρχομένου, δεήσει ἴσως τρεῖς ἢ τέτταρας ἡμέρας μένειν ἕως ἂν πάντα ὡς τὸ πρότερον ἔχῃ, τὰ γὰρ ἀεροσκάφη καὶ οἱ ἐργασταὶ τὰ κελεύσματα οὐ δεξάμενοι οὐ πάρεισιν οὗ δέοι ἄν.

Ἐπικίνδυνος πυροβολισμός, καὶ εἰ ἀθλητικός

31 Μαίου 2017

Ἴσως μετέσχες ποτὲ δημοσίου δρόμου; μαραθῶνός τινος; ἤδη ἴσμεν ὅ τι γίγνεται· οἱ μὲν δρομεῖς ἕτοιμοί εἰσιν, τοῦ δὲ δρόμου ἄρξεσθαι μέλλοντος καθόλου σιγὴ γίγνεται καὶ… πυροβολισμοῦ ἀκουσθέντος πάντες τρέχειν ἄρχονται.

ὡς ἐπὶ τὸ πολὺ ὁ ἄνθρωπος ὃς τὸν πυροβολισμὸν πυροβολεῖ τὸν τὴν τοῦ ἀγῶνος ἀρχὴν σημαίνοντα τοῦτο ποιεῖν δέχεται ὡς τιμὴν οὖσαν, ἀεὶ δὲ ἔνδοξοι πολῖται τυγχάνουσιν ὄντες· εἴτε ἄρχοντες εἴτε ἀθληταὶ εἴτε τοιοῦτοι.

ἐν τῇ Βελγίᾳ δρόμου εἴκοσι χιλιόμετρα τὸ μῆκος γενήσεσθαι μέλλοντος (40,000 δρομέων μετεχόντων) ἡ τοῦ τῆς Βελγίας βασιλέως θυγάτηρ Ἄστριδ τὸν πυροβολισμὸν πυροβολεῖν χαρίεσσα ἐδέξατο, ἀλλὰ ἐν ᾧ τοῦτο ἐποίησεν οὕτως ἐγγὺς τοῦ πρωθυπουργοῦ (Charles Michel) ἦν ὥστε νῦν οὗτος ὁ ἀνὴρ κωφότητα μὲν κατὰ τὸ ἀριστερὸν οὖς πάσχει, ὀρθῶς δὲ ἀκούειν οὐκ ἔχει. τούτων οὕτως ἐχόντων, ἐδέησεν τὸν πρωθυπουργὸν τὸ τῆς ἀρχῆς πρόγραμμα μεταβαλεῖν, παραδείγματος ἕνεκα τῇ Τρίτῃ ἐδέησεν αὐτὸν συλλογὴν ἐν τῇ Βουλῇ ἀναβαλεῖν. οἱ ἰατροὶ οὐκέτι ἴσασι πότερον ἡ βλάβη μόνιμος ἔσται ἢ οὔ.

ἐν τῇ φωτογραφίᾳ ἔξεστιν ἡμῖν τὸν πρωθυπουργὸν ἰδεῖν τόν τε πυροβολισμὸν ἀκούοντα καὶ σκυθρωπάζοντα.